ΑΡΧΙΜΗΔΟΥΣ
ΑΠΑΝΤΑ

ΑΡΧΑΙΟΝ ΚΕΙΜΕΝΟΝ - ΜΕΤΑΦΡΑΣΙΣ - ΣΧΟΛΙΑ

ΤΟΜΟΣ Α΄, ΜΕΡΟΣ Β΄

ΥΠΟ
ΕΥΑΓΓΕΛΟΥ Σ. ΣΤΑΜΑΤΗ

ΕΚΔΟΣΙΣ
ΤΕΧΝΙΚΟΥ ΕΠΙΜΕΛΗΤΗΡΙΟΥ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1970

ΑΡΧΙΜΗΔΟΥΣ ΑΠΑΝΤΑ

ΑΡΧΙΜΗΔΟΥΣ
ΑΠΑΝΤΑ

ΑΡΧΑΙΟΝ ΚΕΙΜΕΝΟΝ - ΜΕΤΑΦΡΑΣΙΣ - ΣΧΟΛΙΑ

ΤΟΜΟΣ Α΄, ΜΕΡΟΣ Β΄

ΥΠΟ
ΕΥΑΓΓΕΛΟΥ Σ. ΣΤΑΜΑΤΗ

ΕΚΔΟΣΙΣ
ΤΕΧΝΙΚΟΥ ΕΠΙΜΕΛΗΤΗΡΙΟΥ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1970

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΠΡΟΛΟΓΟΣ

Εἰς τὸ ἀρχαῖον κείμενον τοῦ α' τόμου, τὸ ὁποῖον προέρχεται ἐκ τῆς β' ἐκδόσεως I. L. Heiberg 1910, ἔγιναν, ἐκτὸς τῆς διορθώσεως τυπογραφικῶν τινων παροραμάτων, καὶ μερικαὶ διορθώσεις καὶ συμπληρώσεις τὰς ὁποίας ἐκθέτομεν κατωτέρω. Αἱ παρατηρούμεναι ἐλλείψεις ὀφείλονται εἰς τοὺς κατὰ καιροὺς ἀντιγραφεῖς τοῦ κειμένου. Τὰς ἐλλειπούσας ἐκφωνήσεις τῶν θεωρημάτων 23, 28, 36, 39, 41 τῆς πραγματείας Περὶ σφαίρας καὶ κυλίνδρου α' συνετάξαμεν ἐπὶ τῇ βάσει τῶν οἰκείων ἀποδείξεων εἰς τὴν κοινὴν ἀττικὴν γλῶσσαν, εἰς τὴν ὁποίαν ἔχουν διασωθῇ τὰ θεωρήματα τῆς πραγματείας αὐτῆς. Εἰς τὰ σχήματα τῶν θεωρημάτων 7 καὶ 39 Περὶ σφαίρας καὶ κυλίνδρου α' ἔγινεν ἡ ἐνδεικνυομένη διόρθωσις.

Ἔκδοσις I. L. Heiberg 1910

Σελὶς	4, 17.	Ἀντὶ *ἀπόφασιν* ἐτέθη *ἀπόφανσιν*
»	6, 1.	Ἀντὶ *ΑΞΙΩΜΑΤΑ* ἐτέθη ⟨*ΟΡΟΙ*⟩
»	8, 9.	Ἀντὶ *καὶ τῆς εὐθείας* ἐτέθη *[καὶ τῆς εὐθείας]*
»	18, 3.	Ἀντὶ *ΝΞΟ* ἐτέθη *ΟΝΞ*
»	24, 9.	Μετὰ τὸ *ΑΒΓ* ἐτέθη ἡ λέξις ⟨*τρίγωνον*⟩
»	52.	Πρὸ τοῦ 1ου στίχου ἐτέθη ἡ λέξις ⟨*Πόρισμα*⟩
»	52.	Μετὰ τὸν 12ον στίχον ἐτέθη ἡ λέξις ⟨*Πόρισμα*⟩
»	74, 8.	Ἀντὶ *εἰσίν* ἐτέθη *εἰσὶν* ⟨*ἐκεῖνοι*⟩.
»	90.	Μετὰ τὸν 14ον στίχον ἐτέθη ἡ ἐλλείπουσα

καὶ ἀνακατασκευασθεῖσα παρ' ἡμῶν ἐκφώνησις τοῦ κγ' θεωρήματος ἔχουσα ὡς ἑξῆς :

⟨*Ἐὰν ἐν μεγίστῳ κύκλῳ σφαίρας πολύγωνον ἰσόπλευρον ἐγγραφῇ, οὗ τὸ πλῆθος τῶν πλευρῶν ὑπὸ τετράδος μετρεῖται, μενούσης δὲ τῆς διαμέτρου τοῦ κύκλου περιενεχθεὶς οὗτος ἔχων τὸ πολύγωνον εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, ἡ ἐπιφάνεια τοῦ ἐν τῇ σφαίρᾳ ἐγγεγραμμένου σχήματος ἐλάσσων ἔσται τῆς ἐπιφανείας τῆς σφαίρας*⟩.

Σελὶς 102, 5. Ἀντὶ *ἴσος* ἐτέθη ⟨*ὃς*⟩ *ἴσος*

» 106. Μετὰ τὸν 10ον στίχον ἐτέθη ἡ ἐλλείπουσα καὶ ἀνακατασκευασθεῖσα παρ' ἡμῶν ἐκφώνησις τοῦ κη' θεωρήματος ἔχουσα ὡς ἑξῆς:

⟨*Ἐὰν ἐν μεγίστῳ κύκλῳ σφαίρας πολύγωνον ἰσόπλευρον καὶ ἰσογώνιον περιγραφῇ, οὗ τὸ πλῆθος τῶν πλευρῶν ὑπὸ τετράδος μετρεῖται, μενούσης δὲ τῆς διαμέτρου τοῦ κύκλου περιενεχθεὶς οὗτος ἔχων τὸ πολύγωνον εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, ἡ ἐπιφάνεια τοῦ ἐν τῇ σφαίρᾳ περιγεγραμμένου σχήματος μείζων ἔσται τῆς ἐπιφανείας τῆς σφαίρας*⟩.

Σελὶς 112, 9. Ἀντὶ *ΧΣ* ἐτέθη *ΧΜ*

» 122, 5. Μετὰ τὴν λέξιν *πλευρὰν* ἐτέθη ⟨*πρὸς τὴν τοῦ ἐγγεγραμμένου*⟩

Σελὶς 124, 1. Μετὰ τὴν λέξιν *περιγεγραμμένου* ἐτέθη ⟨*πλευρὰν πρὸς τὴν τοῦ ἐγγεγραμμένου*⟩

» 126, 17· Μετὰ τὴν λέξιν *περιγεγραμμένον* ἐτέθη ⟨*πρὸς τὸ ἐγγεγραμμένον*⟩

Σελὶς 126, 24. Μετὰ τὴν λέξιν *ἐναλλὰξ* ἐτέθη ⟨*πολλῷ ἄρα τὸ περιγεγραμμένον πρὸς τὸ ἐγγεγραμμένον ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ σφαῖρα πρὸς τὸν Ξ κῶνον·*⟩

ΠΡΟΛΟΓΟΣ

Σελὶς 134. Μετὰ τὸν 17ον στίχον ἐτέθη ἡ ἐλλείπουσα καὶ ἀνακατασκευασθεῖσα παρ' ἡμῶν ἐκφώνησις τοῦ λς' θεωρήματος ἔχουσα ὡς ἑξῆς:

⟨*Ἐὰν ἐν τμήματι μεγίστου κύκλου σφαίρας πολύγωνον ἰσόπλευρον καὶ ἀρτιόγωνον ἐγγραφῇ χωρὶς τῆς βάσεως, μενούσης δὲ τῆς διαμέτρου περιενεχθεὶς οὗτος ἔχων τὸ πολύγωνον εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, ἡ ἐπιφάνεια τοῦ ἐγγεγραμμένου σχήματος ἐλάσσων ἔσται τῆς ἐπιφανείας τοῦ τμήματος*⟩.

Σελὶς 138,9. Μετὰ τὴν λέξιν *τμήματι* ἐτέθη ⟨*τῆς σφαίρας ἐλάσσονι ἡμισφαιρίου*⟩

Σελὶς 142. Μετὰ τὸν 25ον στίχον ἐτέθη ἡ ἐλλείπουσα καὶ ἀνακατασκευασθεῖσα παρ' ἡμῶν ἐκφώνησις τοῦ λθ' θεωρήματος ἔχουσα ὡς ἑξῆς:

⟨*Τοῦ περιγεγραμμένου σχήματος τῷ τομεῖ ἡ ἐπιφάνεια μείζων ἐστὶ τῆς τοῦ ἐλάσσονος τμήματος τῆς σφαίρας ἐπιφανείας*⟩.

Σελὶς 150. Μετὰ τὸν 16ον στίχον ἐτέθη ἡ ἐλλείπουσα καὶ ἀνακατασκευασθεῖσα παρ' ἡμῶν ἐκφώνησις τοῦ μα' θεωρήματος ἔχουσα ὡς ἑξῆς:

⟨*Ἡ ἐπιφάνεια τοῦ ἐν τῷ τμήματι τῆς σφαίρας ἐλάσσονι ἡμισφαιρίου περιγεγραμμένου σχήματος πρὸς τὴν ἐπιφάνειαν τοῦ ἐγγεγραμμένου ὁμοίου σχήματος διπλασίονα λόγον ἔχει ἢ ἡ πλευρὰ τοῦ περιγεγραμμένου πολυγώνου πρὸς τὴν πλευρὰν τοῦ ἐγγεγραμμένου πολυγώνου, τὸ δὲ περιγεγραμμένον σχῆμα σὺν τῷ κώνῳ τῷ βάσιν ἔχοντι τὴν αὐτὴν τῷ τμήματι καὶ ὕψος τὴν πρὸς τῷ κέντρῳ τῆς σφαίρας πρὸς τὸ ἐγγεγραμμένον σχῆμα σὺν τῷ κώνῳ τῷ βάσιν ἔχοντι τὴν αὐτὴν τῷ τμήματι καὶ ὕψος τὴν πρὸς τῷ κέντρῳ τῆς σφαίρας τριπλασίονα λόγον ἔχει τοῦ αὐτοῦ*⟩.

Σελὶς 150, 20. Πρὸ τῆς λέξεως *ἀρτιόγωνον* ἐτέθη ⟨*ἰσόπλευρον καὶ*⟩

Σελὶς 152, 4. Μετὰ τὴν λέξιν *κώνῳ* ἐτέθη ⟨*πρὸς τὸ σχῆμα σὺν τῷ κώνῳ*⟩

Σελὶς 160, 25 καὶ 27 Μετὰ τὴν λέξιν *δύο* ἐτέθη ⟨*εὐθεῖαι*⟩

» 162, 14. Μετὰ τὴν λέξιν *μένου* ἐτέθη ⟨*πλευρὰ πρὸς τὴν τοῦ ἐγγεγραμμένου*⟩

Σελὶς 258. Μετὰ τὸν στίχον 18 ἐτέθη ὡς τίτλος ἡ λέξις ⟨*ΟΡΟΙ*⟩

Σελὶς 260. Μετὰ τὸν στίχον 16 ἐτέθη ὡς τίτλος ἡ λέξις ⟨*ΛΗΜΜΑ*⟩

Σελὶς 266, 2. Ἀντὶ *κα γραμμαὶ* ἐτέθη *κα* ⟨*εὐθεῖαι*⟩ *γραμμαὶ*

» 344, 24. Μετὰ τὴν λέξιν *ἄξονα* ἐτέθη ⟨*τὸν αὐτόν*⟩.

» 350, 15. Ἀντὶ *ΔΙ* ἐτέθη *ΔΒ (*)*.

» 350, 23. Ἀντὶ *ΔΙ* ἐτέθη *ΔΒ (*)*

» 398, 28. Μετὰ τὴν λέξιν *ἀφαιρημένους* ἐτέθη ⟨*γνώμονας*⟩

Σελὶς 414, 24. Μετὰ τὴν λέξιν *τετραγώνῳ* ἐτέθη ⟨*τὰν τοῦ ὑπερβλήματος πλευρὰν ἔχον ἴσαν τᾷ ΔΧ*⟩

Οἱ εἰς τὸ ἄκρον τοῦ κειμένου μετὰ τὸ γράμμα Η ἀριθμοὶ δηλοῦν τῶν ἀντιστοίχων σελίδων τῆς ἐκδόσεως Heiberg 1910 τὸν πρῶτον στίχον.

Ἔγγραφον ἐν Ἀθήναις κατὰ Σεπτέμβριον 1969

ΕΥΑΓΓΕΛΟΣ Σ. ΣΤΑΜΑΤΗΣ

* S. Heller, Abh. der Bayrischen Akad. d. Wiss. N. Folge 63,1954.

ΠΡΟΛΟΓΟΣ

τοῦ I. L. Heiberg (Opera I 1910)

Τὴν ἔκδοσίν μου τοῦ Ἀρχιμήδους, ἡ ὁποία ἔγινε κατὰ τὰ ἔτη 1880 καὶ 1881, εἶχον ἐπὶ μακρὸν τὴν ἐπιθυμίαν νὰ ἐπαναλάβω, τόσον διότι εἶχε προστεθῆ νέον κριτικὸν βοήθημα, ἡ ἑρμηνεία τοῦ Γουλιέλμου Μέρμπεκε (Guilelmi de Moerbeka), ἡ ἀνευρεθεῖσα ὑπὸ τοῦ Βαλεντίνου Ῥόζε (Valentino Rose) (Deutsche Literaturzeitung 1884, σελ. 210 κ. ἑ.), ὅσον καὶ διότι κατὰ ὡριμωτέραν κρίσιν ἐνόμιζον, ὅτι θὰ ἦτο δυνατὸν τοῦ νεανικοῦ μου ἐκείνου ἔργου νὰ ἐπανορθώσω τὰ μειονεκτήματα. Δι' ὃ συναινοῦντος τοῦ ἐκδότου, κατὰ τὰ ἔτη 1903 - 1904 ἐν Ῥώμῃ, Ἑνετίᾳ, Μιλάνῳ, Παρισίοις παρέβαλον καὶ τὴν ἑρμηνείαν τοῦ Γουλιέλμου καὶ εἶχον συλλέξει καὶ ἄλλα, τὰ ὁποῖα θὰ ἦσαν ὠφέλιμα εἰς τὴν ἔκδοσιν, ὁπότε παρωτρύνθην εἰς αὐτὴν ὑπὸ τοῦ Χέρμαν Σιαῖνε (Hermann Schöne), ἐκ τοῦ Ἱεροσολυμιτικοῦ κώδικος, τοῦ φέροντος τὸν ἀριθμὸν 355 (ἴδε Παπαδόπουλος Κεραμεύς, Ἱεροσολυμιτικὴ Βιβλιοθήκη IV σελ. 329). Ὅτε ἀντελήφθην ἐκ τῶν τεμαχιδίων τῶν ἀναφερομένων εἰς τὸν κατάλογον, ὅτι ὁ κῶδιξ περιεῖχε τὸν Ἀρχιμήδη μετέβην κατὰ τὸ θέρος τοῦ 1906 εἰς τὴν Κωνσταντινούπολιν διὰ νὰ τὸν ἐξετάσω.

Ἐκεῖ ἀντελήφθην μετὰ μεγίστης ἐκπλήξεως, ὅτι ὁ κῶδιξ περιεῖχε ὄχι μόνον σημαντικὰ μέρη τῶν βιβλίων Περὶ σφαίρας καὶ κυλίνδρου, Κύκλου μέτρησις, Περὶ ἑλίκων, Περὶ ἐπιπέδων ἰσορροπιῶν, ἀλλὰ ἀκόμη καὶ μερικὰ ἄγνωστα (ἴδε Hermes 42 *σελ. 238) οὕτως, ὥστε ἡ νέα ἔκδοσις τῶν ἔργων τοῦ Ἀρχιμήδους νὰ παρουσιάζεται ὄχι μόνον εὐκταία ἀλλὰ καὶ καθ' ὁλοκληρίαν ἀναγκαία. Τὰ νέα ἐκεῖνα εὑρήματα θὰ περιληφθῶσιν εἰς τὸν δεύτερον τόμον.*

Κατὰ τὴν προπαρασκευὴν τῆς ἐκδόσεως ἐχρησιμοποίησα τὰ ἑξῆς βοηθήματα :

A=κῶδιξ Γεωργίου Βάλλα (Georgii Vallae), ὁ ὁποῖος βεβαίως ἐξηφανίσθη, ἀλλὰ δύναται ἀρκούντως νὰ ἀποκατασταθῇ ἐκ τῶν κωδίκων DEGH.

B=κῶδιξ Ottobonianus, λατινιστὶ 1850, αὐτόγραφος τοῦ Γουλιέλμου Μέρμπεκε, τοῦ ὁποίου ἀκολουθεῖ ἑρμηνεία ἑλληνικὴ κατὰ λέξιν. Τοῦτον παρέβαλον ἐν Ῥώμῃ κατὰ τὸ 1904.

B^2=τοῦ αὐτοῦ κώδικος διόρθωσις τοῦ 15ου αἰῶνος.

B=τοῦ αὐτοῦ κώδικος μέρος παραληφθὲν ἐξ ἄλλου ἑλληνικοῦ κώδικος.*

C=κῶδιξ τοῦ ἐν Κωνσταντινουπόλει Μετοχίου τοῦ Ἁγίου Τάφου ὑπ' ἀριθμ. 355 τοῦ 10ου αἰῶνος. Τοῦτον παρέβαλον ἐν μέρει ἐν Κωνσταντινουπόλει κατὰ τὸ ἔτος 1906, ἐν μέρει δὲ ἐν Haunia ἐκ φωτοτυπίας. Τὸν αὐτὸν κώδικα ἐξήτασα πάλιν κατὰ τὸ 1908. Τὰ ἀβέβαια γράμματα ἔθεσα ἐντὸς παρενθέσεων. (C) σημαίνει ὅτι ὁ κῶδιξ ὑπῆρχε βεβαίως, ἀλλ' ὅτι δὲν ἠδύνατο νὰ ἀναγνωσθῇ, διότι ἐκεῖ μόνον ἐσημείωσα τοῦτο, ὅπου ὑπῆρχε περίπτωσις ἀμφιβολίας.

D=κῶδιξ Λαυρεντιανὸς XXVIII 4, τοῦ 15ου αἰ. Τοῦτον παρέβαλον ἐν Φλωρεντίᾳ κατὰ τὸ ἔτος 1879 καὶ τὸν ἐξήτασα πάλιν κατὰ τὸ 1903.

E=κῶδιξ Μαρκιανὸς 305, τοῦ 15ου αἰ. Τοῦτον ἐξήτασα κατὰ τὸ ἔτος 1879 καὶ 1903.

F=κῶδιξ Παρισινὸς 2359 τοῦ 16ου αἰ.

G=κῶδιξ Παρισινὸς 2360 τοῦ 16ου αἰ.
H=κῶδιξ Παρισινὸς 2361 γεγραμμένος κατὰ τὸ ἔτος 1544.
J=κῶδιξ Παρισινὸς 2362 τοῦ 16ου αἰ.

Τοὺς Παρισινοὺς κώδικας, περὶ τῶν ὁποίων ἐξέθεσα εἰς τὴν πρώτην ἔκδοσιν, ὤφειλον εἰς τὸν Ἐρρῖκον Λεμπὲκ (Henrico Lebègue), ἐξήτασα δὲ ἐν Παρισίοις κατὰ τὸ 1903.

Περὶ τούτων καὶ τῶν λοιπῶν κωδίκων παρέχεται εἰς τὰ προλεγόμενα τοῦ τρίτου τόμου πλουσιωτέρα ἔκθεσις.

Τὰ λοιπὰ σημεῖα, τὰ ὁποῖα ἐχρησιμοποίησα εἰς τὸ κριτικὸν ὑπόμνημα εἶναι τὰ ἀκόλουθα :

Basil.=πρωταρχικὴ ἔκδοσις ἐν Βασιλείᾳ 1544 εἰς φύλλα, μεθ᾽ ἑρμηνείας τοῦ Ἰακώβου ἐκ Κρεμόνας (Jacobi Cremonensis).

Ζητήματα Ἀρχιμήδεια, ἐξέδωκεν ὁ I. L. Heiberg ἐν Κοπεγχάγῃ 1879 (Quaestiones Archimedeae).

ZMP=Περιοδικὸν διὰ Μαθηματικὰ καὶ Φυσικήν, Τμῆμα Ἱστορικοφιλολογικόν.

NJS=Νέαι Ἐπετηρίδες διὰ Φιλολογίαν καὶ Παιδαγωγικά, τόμος συμπληρωματικός.

Ἔργα λογίων ἀνδρῶν, ἐκ τῶν ὁποίων ἤντλησα πρὸς διόρθωσιν εἴτε πρὸς ἑρμηνείαν λέξεων τοῦ Ἀρχιμήδους, εἶναι τὰ ἀκόλουθα :

Rivaltus=Ἔργα Ἀρχιμήδους. Παρίσιοι 1615, εἰς φύλλα.

Torellius=Ἔργα Ἀρχιμήδους. Ὀξφόρδη 1792, εἰς φύλλα.

Commandinus=Ἀρχιμήδους ἔργα, ἐκ τῶν ὁποίων μερικὰ λατινιστί. Ἑνετία 1588, εἰς φύλλα.

Wallis=Ἀρχιμήδους Ψαμμίτης καὶ Κύκλου μέτρησις Ὀξφ. 1678.8 καὶ Ἔργα Ἀρχιμήδους, τόμος III σελ. 509 καὶ ἑξῆς.

Sturm=Τοῦ ἀσυγκρίτου Ἀρχιμήδους ἐπιστημονικὰ συγ-

γράμματα μετεφρασμένα καὶ μετ' ἐπεξηγήσεων. Νυρεμβέργη 1670, εἰς φύλλα.

Barrowius="Εργα 'Αρχιμήδους, μέθοδος νέα μετὰ σχημάτων καὶ ἀποδείξεων. Λονδῖνον 1675. 4.

Hauber='Αρχιμήδους Περὶ σφαίρας καὶ κυλίνδρου καὶ Κύκλου μέτρησις, μετάφρασις μετὰ παρατηρήσεων. Tübingen 1798. 8.

Gutenäcker='Αρχιμήδους Κύκλου μέτρησις, ἑλληνιστὶ καὶ γερμανιστί, Βύρτσμπουργκ 1828. 8.

Nizze='Αρχιμήδους σωζόμενα ἔργα, μετὰ μεταφράσεως καὶ ἐπεξηγήσεων. Stralsund 1824. 4.

Censor Ienensis ('Ιένα) = ἀνὴρ λόγιος ἄγνωστος, ὅστις ἔγραψε κριτικὴν περὶ τῆς ἐκδόσεως τοῦ Τορέλλι εἰς τὴν 'Ιεναίαν Φιλολογικὴν 'Εφημερίδα 1795, ἀριθ. 172 - 173 σ. 610 - 623.

Wurm=Τοῦ Φρ. Βοὺρμ κριτικὴ τῆς ἐκδόσεως 'Ιωάννου Γκουτεναῖκερ, 'Επετηρίδες XIV σελ. 175 - 185.

Ahrens=Περὶ τῶν διαλέκτων τῆς ἑλληνικῆς γλώσσης, II. Göttingen 1843.

Bergk=Πέντε πραγματεῖαι ἐπὶ τῆς ἱστορίας τῆς ἑλληνικῆς φιλοσοφίας καὶ ἀστρονομίας. Λειψία 1883 σελ. 141 καὶ ἑξῆς.

Zeuthen='Η θεωρία Περὶ κωνικῶν τομῶν κατὰ τὴν ἀρχαιότητα. Κοπεγχάγη 1886.

Heath=Τὰ ἔργα τοῦ 'Αρχιμήδους. Καῖμπριτζ 1897.

'Εκτὸς τούτων ἐχρησιμοποίησα πραγματείας τῶν Φρειδερίκου Μπλὰς (Fr. Blass), Θεοδώρου Γκέμπερτς (Th. Goberz) (Συμβολαὶ εἰς τὴν κριτικὴν καὶ ἑρμηνείαν 'Ελλήνων συγγραφέων III σελ. 24), Φρειδερίκου Χούλτς (Fr. Hultsch), τοῦ ὁποίου μερικαὶ διορθώσεις θὰ περιληφθῶσιν εἰς τοὺς οἰκείους τόπους.

Μερικὰς διορθώσεις εἰς τὴν παλαιὰν ἔκδοσιν τῶν 'Αρχιμη-

δείων Ζητημάτων, κεφ. 7 καὶ εἰς τὴν ἔκδοσιν τοῦ Ψαμμίτου, τὴν προσηρτημένην εἰς τὸ αὐτὸ βιβλίον ἐγκρίνω ἀκόμη, ἐν ᾧ μέρος αὐτῶν τώρα ἀπεδοκίμασα. Εἰς τὸν Εὐτόκιον ἐπεχείρησα νὰ κάμω διορθώσεις τινὰς εἰς τὰς Νέας Ἐπετηρίδας διὰ Φιλολογίαν καὶ Παιδαγωγικά, συμπληρωματικὸς τόμος XI σελ. 375 - 383.

Περὶ τῆς μεταφράσεως (εἰς τὴν λατινικὴν) καὶ περὶ τῶν σημείων, τὰ ὁποῖα χρησιμοποιῶ, ἐθεώρησα ὅτι πρέπει νὰ ἐπαναληφθῶσιν ἐκ τῆς πρώτης ἐκδόσεως τὰ ἀκόλουθα .....

Ἔγραφον ἐν Κοπεγχάγῃ κατ' Ἰανουάριον 1910

I. L. HEIBERG

ΠΙΝΑΞ ΠΡΟΤΑΣΕΩΝ

Τόμου α΄, μέρους β΄

Περὶ σφαίρας καὶ κυλίνδρου, βιβλίον α΄

Ὁρισμοὶ	6	
Λαμβανόμενα	5	(αἰτήματα - ἀξιώματα)
Θεωρήματα	44	
Πορίσματα	8	
Λήμματα	5	(ἐκφωνήσεις θεωρημάτων XII βιβλίου Στοιχείων Εὐκλείδου)

Περὶ σφαίρας καὶ κυλίνδρου, βιβλίον β΄

Προβλήματα	9
Πόρισμα	1

Κύκλου μέτρησις

Θεωρήματα	3

Περὶ κωνοειδέων καὶ σφαιροειδέων

Ὁρισμοὶ	2
Λῆμμα	1
Θεωρήματα	32
Πόρισμα	1

ΠΕΡΙ ΣΦΑΙΡΑΣ ΚΑΙ ΚΥΛΙΝΔΡΟΥ

ΒΙΒΛΙΑ α′, β′

H 2

α´

Ἀρχιμήδης Δοσιθέῳ Χαίρειν

Πρότερον μὲν ἀπέσταλκά σοι τῶν ὑφ᾽ ἡμῶν τεθεωρημένων γράψας μετὰ ἀποδείξεως, ὅτι πᾶν τμῆμα τὸ περιεχόμενον ὑπό τε εὐθείας καὶ ὀρθογωνίου κώνου τομῆς ἐπίτριτόν ἐστι τριγώνου τοῦ βάσιν τὴν αὐτὴν ἔχοντος τῷ τμήματι καὶ ὕψος ἴσον· ὕστερον δὲ ἡμῖν ὑποπεσόντων θεωρημάτων ἀξίων λόγου πεπραγματεύμεθα περὶ τὰς ἀποδείξεις αὐτῶν. ἔστιν δὲ τάδε· πρῶτον μέν, ὅτι πάσης σφαίρας ἡ ἐπιφάνεια τετραπλασία ἐστὶν τοῦ μεγίστου κύκλου τῶν ἐν αὐτῇ· ἔπειτα δέ, ὅτι παντὸς τμήματος σφαίρας τῇ ἐπιφανείᾳ ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ εὐθείᾳ τῇ ἀπὸ τῆς κορυφῆς τοῦ τμήματος ἀγομένῃ ἐπὶ τὴν περιφέρειαν τοῦ κύκλου, ὅς ἐστι βάσις τοῦ τμήματος· πρὸς δὲ τούτοις, ὅτι πάσης σφαίρας ὁ κύλινδρος ὁ βάσιν μὲν ἔχων ἴσην τῷ μεγίστῳ κύκλῳ τῶν ἐν τῇ σφαίρᾳ, ὕψος δὲ ἴσον τῇ διαμέτρῳ τῆς σφαίρας αὐτός τε ἡμιόλιός ἐστιν τῆς σφαίρας, καὶ ἡ ἐπιφάνεια αὐτοῦ τῆς ἐπιφανείας τῆς σφαίρας. ταῦτα δὲ τὰ συμπτώματα τῇ φύσει προϋπῆρχεν περὶ τὰ εἰρημένα σχήματα, ἠγνοεῖτο δὲ ὑπὸ τῶν πρὸ ἡμῶν περὶ γεωμετρίαν ἀνεστραμ-
H 4 μένων οὐδενὸς αὐτῶν ἐπινενοηκότος, ὅτι τούτων τῶν σχημάτων ἐστὶν συμμετρία· διόπερ οὐκ ἂν ὀκνήσαιμι ἀντιπαραβαλεῖν αὐτὰ πρός τε τὰ τοῖς ἄλλοις γεωμέτραις τεθεωρημένα καὶ πρὸς τὰ δόξαντα πολὺ ὑπερέχειν τῶν ὑπὸ Εὐδόξου περὶ τὰ στερεὰ θεωρηθέντων, ὅτι πᾶσα πυραμὶς τρίτον ἐστὶ μέρος πρίσματος τοῦ βάσιν ἔχοντος τὴν αὐτὴν τῇ πυραμίδι

1

Ἀρχιμήδης Δοσιθέῳ χαίρειν

Προηγουμένως μὲν σοῦ ἀπέστειλα τὰ ὑπ' ἐμοῦ ἐπινοηθέντα θεωρήματα ἀναγράψας αὐτὰ μετ' ἀποδείξεων, ὅτι πᾶν παραβολικὸν τμῆμα εἶναι τὰ $\frac{4}{3}$ τριγώνου ἔχοντος τὴν αὐτὴν βάσιν πρὸς τὸ τμῆμα καὶ ὕψος ἴσον· ὕστερον δέ, ὅτε ἀνεκάλυψα ἄξια λόγου θεωρήματα, ἠσχολήθην μὲ τὰς ἀποδείξεις αὐτῶν. Εἶναι δὲ τὰ ἑξῆς· πρῶτον μέν, ὅτι πάσης σφαίρας ἡ ἐπιφάνεια εἶναι τετραπλασία τοῦ μεγίστου κύκλου αὐτῆς· ἔπειτα δέ, ὅτι ἡ ἐπιφάνεια παντὸς σφαιρικοῦ τμήματος εἶναι ἴση πρὸς κύκλον, τοῦ ὁποίου ἡ ἀκτὶς εἶναι ἴση πρὸς τὴν εὐθεῖαν τὴν ἀγομένην ἀπὸ τῆς κορυφῆς τοῦ τμήματος μέχρι τῆς περιφερείας τοῦ κύκλου, ὁ ὁποῖος εἶναι βάσις τοῦ τμήματος· πρὸς τούτοις δέ, ὅτι πάσης σφαίρας ὁ κύλινδρος ὁ ἔχων βάσιν μὲν ἴσην πρὸς τὸν μέγιστον κύκλον τῆς σφαίρας ὕψος δὲ ἴσον πρὸς τὴν διάμετρον τῆς σφαίρας εἶναι καὶ αὐτὸς τὰ $\frac{3}{2}$ τῆς σφαίρας καὶ ἡ ἐπιφάνεια αὐτοῦ τὰ $\frac{3}{2}$ τῆς ἐπιφανείας τῆς σφαίρας. Αἱ ἰδιότητες δὲ αὗται προϋπῆρχον φυσικῶς εἰς τὰ εἰρημένα σχήματα, ἠγνοοῦντο δὲ ὑπὸ τῶν πρὸ ἡμῶν ἀσχοληθέντων περὶ τὴν γεωμετρίαν, ἐν ᾧ οὐδεὶς ἐξ αὐτῶν εἶχεν ἐπινοήσει, ὅτι μεταξὺ τῶν σχημάτων τούτων ὑπάρχει συμμετρία· ἕνεκα τοῦ λόγου τούτου δὲν θὰ ἐδίσταζον ν' ἀντιπαραβάλω τὰ θεωρήματα αὐτὰ καὶ πρὸς τὰ εὑρεθέντα ὑπὸ ἄλλων γεωμετρῶν καὶ πρὸς τὰ ὑπὸ τοῦ Εὐδόξου περὶ τὰ στερεὰ θεωρηθέντα, τὰ θεωρούμενα ὅτι ὑπερέχουσι πολύ, ὅτι δηλ. πᾶσα πυραμὶς εἶναι τὸ τρίτον πρίσματος τοῦ ἔχοντος τὴν αὐτὴν βάσιν πρὸς τὴν πυραμίδα καὶ ὕψος ἴσον, καὶ ὅτι πᾶς κῶνος εἶναι τὸ τρίτον μέρος τοῦ *καὶ ὕψος ἴσον, καὶ ὅτι πᾶς κῶνος τρίτον μέρος ἐστὶν τοῦ κυλίνδρου τοῦ βάσιν ἔχοντος τὴν αὐτὴν τῷ κώνῳ καὶ ὕψος ἴσον· καὶ γὰρ τούτων προϋπαρχόντων φυσικῶς περὶ ταῦτα τὰ σχήματα, πολλῶν πρὸ Εὐδόξου γεγενημένων ἀξίων λόγου γεωμετρῶν συνέβαινεν ὑπὸ πάντων ἀγνοεῖσθαι μηδ' ὑφ' ἑνὸς κατανοηθῆναι. ἐξέσται δὲ περὶ τούτων ἐπισκέψασθαι τοῖς δυνησομένοις. ὤφειλε μὲν οὖν Κόνωνος ἔτι ζῶντος ἐκδίδοσθαι ταῦτα· τῆνον γὰρ ὑπολαμβάνομέν που μάλιστα ἂν δύνασθαι κατανοῆσαι ταῦτα καὶ τὴν ἁρμόζουσαν ὑπὲρ αὐτῶν ἀπόφανσιν ποιήσασθαι· δοκιμάζοντες δὲ καλῶς ἔχειν μεταδιδόναι τοῖς οἰκείοις τῶν μαθημάτων ἀποστέλλομέν σοι τὰς ἀποδείξεις ἀναγράψαντες, ὑπὲρ ὧν ἐξέσται τοῖς περὶ τὰ μαθήματα ἀναστρεφομένοις ἐπισκέψασθαι. ἐρρωμένως.*

Γράφονται πρῶτον τά τε ἀξιώματα καὶ τὰ λαμβανόμενα εἰς τὰς ἀποδείξεις αὐτῶν.

Η 6

⟨ ΟΡΟΙ ⟩

α′. Εἰσί τινες ἐν ἐπιπέδῳ καμπύλαι γραμμαὶ πεπερασμέναι, αἳ τῶν τὰ πέρατα ἐπιζευγνυουσῶν αὐτῶν εὐθειῶν ἤτοι ὅλαι ἐπὶ τὰ αὐτά εἰσιν ἢ οὐδὲν ἔχουσιν ἐπὶ τὰ ἕτερα.

β′. Ἐπὶ τὰ αὐτὰ δὴ κοίλην καλῶ τὴν τοιαύτην γραμμήν, ἐν ᾗ ἐὰν δύο σημείων λαμβανομένων ὁποιωνοῦν αἱ μεταξὺ τῶν σημείων εὐθεῖαι ἤτοι πᾶσαι ἐπὶ τὰ αὐτὰ πίπτουσιν τῆς γραμμῆς, ἢ τινὲς μὲν ἐπὶ τὰ αὐτά, τινὲς δὲ κατ' αὐτῆς, ἐπὶ τὰ ἕτερα δὲ μηδεμία.

γ′. Ὁμοίως δὴ καὶ ἐπιφάνειαί τινές εἰσιν πεπερασμέναι, αὐταὶ μὲν οὐκ ἐν ἐπιπέδῳ, τὰ δὲ πέρατα ἔχουσαι ἐν ἐπιπέδῳ, κυλίνδρου τοῦ ἔχοντος τὴν αὐτὴν βάσιν πρὸς τὸν κῶνον καὶ ὕψος ἴσον· καὶ διότι ἐν ᾧ αἱ ἰδιότητες αὗται προϋπῆρχον φυσικῶς εἰς τὰ σχήματα ταῦτα, συνέβαινεν ὥστε νὰ ἀγνοῶνται ὑπὸ πάντων καὶ νὰ μὴ ἐπινοηθῶσιν ὑπ' οὐδενός, ἐν ᾧ πρὸ τοῦ Εὐδόξου ὑπῆρξαν πολλοὶ ἄξιοι λόγου γεωμέτραι. Θ' ἀποφανθῶσι δὲ περὶ πάντων τούτων οἱ δυνάμενοι. Εὐχῆς ἔργον θὰ ἦτο νὰ ἐξεδίδοντο ταῦτα ζῶντος ἔτι τοῦ Κόνωνος· διότι ἐκεῖνον τὸν ἐθεωροῦμεν ἱκανώτατον νὰ κατανοήσῃ ταῦτα καὶ νὰ διατυπώσῃ τὴν ἁρμόζουσαν γνώμην περὶ αὐτῶν· φρονοῦντες δέ, ὅτι ὀρθὸν εἶναι ν' ἀνακοινώσωμεν εἰς τοὺς οἰκείους τὰ θεωρήματα, ἀναγράψαντες σοῦ ἀποστέλλομεν τὰς ἀποδείξεις, περὶ τῶν ὁποίων ἁρμόδιοι ν' ἀποφανθῶσιν εἶναι οἱ ἀσχολούμενοι μὲ τὰ μαθηματικά. Ἐρρωμένως.

Πρῶτον γράφονται καὶ οἱ ὁρισμοὶ καὶ τὰ λαμβανόμενα εἰς τὰς ἀποδείξεις αὐτῶν.

ΟΡΙΣΜΟΙ

1. Ἐν τῷ ἐπιπέδῳ ὑπάρχουσι καμπύλαι τινὲς γραμμαὶ πεπερασμέναι, αἱ ὁποῖαι ἐν σχέσει πρὸς τὰς εὐθείας, αἱ ὁποῖαι ἑνοῦσι τὰ πέρατα αὐτῶν εἶναι ἢ ὅλαι πρὸς τὰ αὐτὰ μέρη ἢ οὐδὲν μέρος ἔχουσι πρὸς τὰ ἄλλα μέρη.

2. Πρὸς τὸ αὐτὸ μέρος καλῶ κοίλην ἐκείνην τὴν γραμμήν, εἰς τὴν ὁποίαν, ἀφοῦ ληφθῶσι δύο οἱαδήποτε σημεῖα, ἐὰν αἱ μεταξὺ τῶν σημείων εὐθεῖαι ὅλαι πίπτουσι πρὸς τὰ αὐτὰ μέρη τῆς γραμμῆς, ἢ ἄλλαι μὲν πίπτουσι πρὸς τὰ αὐτὰ μέρη, ἄλλαι δὲ ἐπ' αὐτῆς, οὐδεμία δὲ εἰς τὰ ἄλλα μέρη.

3. Ὁμοίως ὑπάρχουσι καὶ πεπερασμέναι τινὲς ἐπιφάνειαι αἱ ὁποῖαι δὲν εἶναι ἐπίπεδοι, ἔχουσιν ὅμως τὰ πέρατα αὐτῶν ἐν ἐπιπέδῳ, τῶν ὁποίων αἱ γραμμαὶ ἔνθα τὰ πέρατα αὐτῶν ἢ

αἳ τοῦ ἐπιπέδου, ἐν ᾧ τὰ πέρατα ἔχουσιν, ἤτοι ὅλαι ἐπὶ τὰ αὐτὰ ἔσονται ἢ οὐδὲν ἔχουσιν ἐπὶ τὰ ἕτερα.

δʹ. Ἐπὶ τὰ αὐτὰ δὴ κοίλας καλῶ τὰς τοιαύτας ἐπιφανείας, ἐν αἷς ἂν δύο σημείων λαμβανομένων αἱ μεταξὺ τῶν σημείων εὐθεῖαι ἤτοι πᾶσαι ἐπὶ τὰ αὐτὰ πίπτουσιν τῆς ἐπιφανείας, ἢ τινὲς μὲν ἐπὶ τὰ αὐτά, τινὲς δὲ κατ' αὐτῆς, ἐπὶ τὰ ἕτερα δὲ μηδεμία.

εʹ. Τομέα δὲ στερεὸν καλῶ, ἐπειδὰν σφαῖραν κῶνος τέμνῃ κορυφὴν ἔχων πρὸς τῷ κέντρῳ τῆς σφαίρας, τὸ ἐμπεριεχόμενον σχῆμα ὑπό τε τῆς ἐπιφανείας τοῦ κώνου καὶ τῆς ἐπιφανείας τῆς σφαίρας ἐντὸς τοῦ κώνου.

ϛʹ. Ῥόμβον δὲ καλῶ στερεόν, ἐπειδὰν δύο κῶνοι τὴν αὐτὴν βάσιν ἔχοντες τὰς κορυφὰς ἔχωσιν ἐφ' ἑκάτερα τοῦ ἐπιπέδου τῆς βάσεως, ὅπως οἱ ἄξονες αὐτῶν ἐπ' εὐθείας ὦσι κείμενοι, τὸ ἐξ ἀμφοῖν τοῖν κώνοιν συγκείμενον στερεὸν σχῆμα.

H 8

ΛΑΜΒΑΝΟΜΕΝΑ

Λαμβάνω δὲ ταῦτα·

αʹ. Τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν ἐλαχίστην εἶναι τὴν εὐθεῖαν.

βʹ. Τῶν δὲ ἄλλων γραμμῶν, ἐὰν ἐν ἐπιπέδῳ οὖσαι τὰ αὐτὰ πέρατα ἔχωσιν, ἀνίσους εἶναι τὰς τοιαύτας, ἐπειδὰν ὦσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ ἤτοι ὅλη περιλαμβάνηται ἡ ἑτέρα αὐτῶν ὑπὸ τῆς ἑτέρας [καὶ τῆς εὐθείας] τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐτῇ, ἢ τινὰ μὲν περιλαμβάνηται, τινὰ δὲ κοινὰ ἔχῃ, καὶ ἐλάσσονα εἶναι τὴν περιλαμβανομένην.

γʹ. Ὁμοίως δὲ καὶ τῶν ἐπιφανειῶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, ἐὰν ἐν ἐπιπέδῳ τὰ πέρατα ἔχωσιν, ἐλάσσονα εἶναι τὴν ἐπίπεδον.

εἶναι ὅλαι πρὸς τὰ αὐτὰ μέρη τοῦ ἐπιπέδου ἢ οὐδὲν μέρος ἔχουσι πρὸς τὰ ἄλλα μέρη.

4. Ἐκείνας δὲ τὰς ἐπιφανείας καλῶ κοίλας πρὸς τὸ αὐτὸ μέρος, εἰς τὰς ὁποίας, ἀφοῦ ληφθῶσι δύο σημεῖα, αἱ μεταξὺ τῶν σημείων εὐθεῖαι ἢ ὅλαι πίπτουσι πρὸς τὰ αὐτὰ μέρη τῆς ἐπιφανείας, ἢ ἄλλαι μὲν πρὸς τὰ αὐτά, πρὸς τὰ ἄλλα δὲ μηδεμία.

5. Τομέα δὲ στερεὸν (σφαιρικὸν) καλῶ, ὅταν κῶνος ἔχων τὴν κορυφὴν εἰς τὸ κέντρον τῆς σφαίρας τέμνῃ αὐτήν, τὸ σχῆμα τὸ ἐμπεριεχόμενον ὑπὸ τῆς ἐπιφανείας τοῦ κώνου ἐντὸς τῆς σφαίρας καὶ τῆς σφαιρικῆς ἐπιφανείας.

6. Στερεὸν δὲ ῥόμβον (διπλοῦν κῶνον) καλῶ τὸ ἐκ δύο κώνων στερεὸν σχῆμα τὸ προκῦπτον, ὅταν οἱ δύο κῶνοι ἔχοντες τὴν αὐτὴν βάσιν ἔχωσι τὰς κορυφὰς αὐτῶν ἐντεῦθεν καὶ ἐκεῖθεν τοῦ ἐπιπέδου τῆς βάσεως καὶ οἱ ἄξονες αὐτῶν κεῖνται ἐπ' εὐθείας.

ΛΑΜΒΑΝΟΜΕΝΑ

Λαμβάνω δὲ ταῦτα (ὡς ἀξιώματα)·

1. Ἐκ τῶν γραμμῶν, αἱ ὁποῖαι ἔχουσι τὰ αὐτὰ πέρατα ἐλαχίστη εἶναι ἡ εὐθεῖα.

2. Ἐκ τῶν ἄλλων δὲ γραμμῶν, ἐὰν εὑρισκόμεναι εἰς τὸ ἐπίπεδον ἔχωσι τὰ αὐτὰ πέρατα, ἄνισοι εἶναι ἐκεῖναι, ὅταν, ἐν ᾧ εἶναι κοῖλαι πρὸς τὰ αὐτὰ μέρη, ἢ ὁλόκληρος ἡ μία περιλαμβάνηται ὑπὸ τῆς ἄλλης, ἡ ὁποία ἔχει τὰ αὐτὰ πέρατα πρὸς αὐτήν, ἢ μέρος μὲν περιλαμβάνηται μέρος δὲ ἔχει κοινόν, καὶ μικροτέρα εἶναι ἡ περιλαμβανομένη.

3. Ὁμοίως δὲ καὶ ἐκ τῶν ἐπιφανειῶν, αἱ ὁποῖαι ἔχουσι τὰ αὐτὰ πέρατα, ἐὰν ἔχωσι τὰ πέρατα ἐπὶ ἐπιπέδου, μικροτέρα εἶναι ἡ ἐπίπεδος.

δ'. Τῶν δὲ ἄλλων ἐπιφανειῶν καὶ τὰ αὐτὰ πέρατα ἐχουσῶν, ἐὰν ἐν ἐπιπέδῳ τὰ πέρατα ᾖ, ἀνίσους εἶναι τὰς τοιαύτας, ἐπειδὰν ὦσιν ἀμφότεραι ἐπὶ τὰ αὐτὰ κοῖλαι, καὶ ἤτοι ὅλη περιλαμβάνηται ὑπὸ τῆς ἑτέρας ἡ ἑτέρα ἐπιφάνεια καὶ τῆς ἐπιπέδου τῆς τὰ αὐτὰ πέρατα ἐχούσης αὐτῇ, ἢ τινὰ μὲν περιλαμβάνηται, τινὰ δὲ κοινὰ ἔχῃ, καὶ ἐλάσσονα εἶναι τὴν περιλαμβανομένην.

ε'. Ἔτι δὲ τῶν ἀνίσων γραμμῶν καὶ τῶν ἀνίσων ἐπιφανειῶν καὶ τῶν ἀνίσων στερεῶν τὸ μεῖζον τοῦ ἐλάσσονος ὑπερέχειν τοιούτῳ, ὃ συντιθέμενον αὐτὸ ἑαυτῷ δυνατόν ἐστιν ὑπερέχειν παντὸς τοῦ προτεθέντος τῶν πρὸς ἄλληλα λεγομένων.

H 10 *Τούτων δὲ ὑποκειμένων, ἐὰν εἰς κύκλον πολύγωνον ἐγγραφῇ, φανερόν, ὅτι ἡ περίμετρος τοῦ ἐγγραφέντος πολυγώνου ἐλάσσων ἐστὶν τῆς τοῦ κύκλου περιφερείας· ἑκάστη γὰρ τῶν τοῦ πολυγώνου πλευρῶν ἐλάσσων ἐστὶ τῆς τοῦ κύκλου περιφερείας τῆς ὑπὸ τῆς αὐτῆς ἀποτεμνομένης.*

α'

Ἐὰν περὶ κύκλον πολύγωνον περιγραφῇ, ἡ τοῦ περιγραφέντος πολυγώνου περίμετρος μείζων ἐστὶν τῆς περιμέτρου τοῦ κύκλου.

περὶ γὰρ κύκλον πολύγωνον περιγεγράφθω τὸ ὑποκείμενον. λέγω, ὅτι ἡ περίμετρος τοῦ πολυγώνου μείζων ἐστὶν τῆς περιμέτρου τοῦ κύκλου.

ἐπεὶ γὰρ συναμφότερος ἡ ΒΑΛ μείζων ἐστὶ τῆς ΒΛ περιφερείας διὰ τὸ τὰ αὐτὰ πέρατα ἔχουσαν περιλαμβάνειν τὴν περιφέρειαν, ὁμοίως δὲ καὶ συναμφότερος μὲν ἡ ΔΓ, ΓΒ

4. Ἐκ τῶν ἄλλων δὲ ἐπιφανειῶν, αἱ ὁποῖαι ἔχουσι τὰ αὐτὰ πέρατα, ἐὰν τὰ πέρατα εἶναι ἐπὶ ἐπιπέδου, ἄνισοι εἶναι ἐκεῖναι, ὅταν, ἐν ᾧ εἶναι καὶ αἱ δύο πρὸς τὰ αὐτὰ μέρη κοῖλαι, ἢ ὁλόκληρος ἡ μία περιλαμβάνηται ὑπὸ τῆς ἄλλης καὶ τοῦ ἐπιπέδου τοῦ ἔχοντος τὰ αὐτὰ πέρατα πρὸς αὐτήν, ἢ μέρος μὲν περιλαμβάνηται, μέρος δὲ ἔχῃ κοινόν, καὶ μικροτέρα εἶναι ἡ περιλαμβανομένη.

5. Ἔτι δὲ ἐκ τῶν ἀνίσων γραμμῶν καὶ τῶν ἀνίσων ἐπιφανειῶν καὶ τῶν ἀνίσων στερεῶν, ὅτι τὸ μεγαλύτερον ὑπερέχει τοῦ μικροτέρου κατὰ τοιοῦτον μέγεθος, τὸ ὁποῖον λαμβανόμενον πολλὰς φορὰς εἶναι δυνατὸν νὰ ὑπερέχῃ παντὸς τοῦ ἐκ τῶν δύο δοθέντων μεγεθῶν (ἀξίωμα συνεχείας).

Τούτων δὲ τεθέντων, εἶναι φανερόν, ὅτι ἐὰν εἰς κύκλον ἐγγραφῇ πολύγωνον ἡ περίμετρος τοῦ ἐγγραφέντος πολυγώνου εἶναι μικροτέρα τῆς περιφερείας τοῦ κύκλου· διότι ἑκάστη πλευρὰ τοῦ πολυγώνου εἶναι μικροτέρα τοῦ ὑπ' αὐτῆς ἀποτεμνομένου τόξου τοῦ κύκλου.

1

Ἐὰν περὶ κύκλον περιγραφῇ πολύγωνον, ἡ περίμετρος τοῦ περιγραφέντος πολυγώνου εἶναι μεγαλυτέρα τῆς περιμέτρου τοῦ κύκλου.



Διότι ἂς περιγραφῇ περὶ κύκλον τὸ ὑποκείμενον πολύγωνον. Λέγω, ὅτι ἡ περίμετρος τοῦ πολυγώνου εἶναι μεγαλυτέρα τῆς περιμέτρου τοῦ κύκλου.

Διότι ἐπειδὴ ΒΑ + ΑΛ ⟩ τόξου ΒΛ, ἐπειδὴ ἡ γραμμὴ περιλαμβάνει τὸ τόξον ἔχουσα τὰ αὐτὰ πέρατα μὲ αὐτὸ (ἀξ. 2), ὁμοίως δὲ ΔΓ + ΓΒ⟩

τῆς ΔΒ, συναμφότερος δὲ ἡ ΛΚ, ΚΘ τῆς ΛΘ, συναμφότερος δὲ ἡ ΖΗΘ τῆς ΖΘ, ἔτι δὲ συναμφότερος ἡ ΔΕ, ΕΖ τῆς ΔΖ, ὅλη ἄρα ἡ περίμετρος τοῦ πολυγώνου μείζων ἐστὶ τῆς περιφερείας τοῦ κύκλου.

β′

Δύο μεγεθῶν ἀνίσων δοθέντων δυνατόν ἐστιν εὑρεῖν δύο εὐθείας ἀνίσους, ὥστε τὴν μείζονα εὐθεῖαν πρὸς τὴν ἐλάσσονα λόγον ἔχειν ἐλάσσονα ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον.

ἔστω δύο μεγέθη ἄνισα τὰ ΑΒ, Δ, καὶ ἔστω μεῖζον τὸ
H 12 ΑΒ. λέγω, ὅτι δυνατόν ἐστι δύο εὐθείας ἀνίσους εὑρεῖν τὸ εἰρημένον ἐπίταγμα ποιούσας.

κείσθω διὰ τὸ β′ τοῦ α′ τῶν Εὐκλείδου τῷ Δ ἴσον τὸ ΒΓ, καὶ κείσθω τις εὐθεῖα γραμμὴ ἡ ΖΗ· τὸ δὴ ΓΑ ἑαυτῷ ἐπισυντιθέμενον ὑπερέξει τοῦ Δ. πεπολλαπλασιάσθω οὖν, καὶ ἔστω τὸ ΑΘ, καὶ ὁσαπλάσιόν ἐστι τὸ ΑΘ τοῦ ΑΓ, τοσαυταπλάσιος ἔστω ἡ ΖΗ τῆς ΗΕ· ἔστιν ἄρα, ὡς τὸ ΘΑ πρὸς ΑΓ, οὕτως ἡ ΖΗ πρὸς ΗΕ· καὶ ἀνάπαλίν ἐστιν, ὡς ἡ ΕΗ πρὸς ΗΖ, οὕτως τὸ ΑΓ πρὸς ΑΘ. καὶ ἐπεὶ μεῖζόν ἐστιν τὸ ΑΘ τοῦ Δ, τουτέστι τοῦ ΓΒ, τὸ ἄρα ΓΑ πρὸς τὸ ΑΘ λόγον ἐλάσσονα ἔχει ἤπερ τὸ ΓΑ πρὸς ΓΒ. ἀλλ᾽ ὡς τὸ ΓΑ πρὸς ΑΘ, οὕτως ἡ ΕΗ πρὸς ΗΖ· ἡ ΕΗ ἄρα πρὸς ΗΖ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ΓΑ πρὸς ΓΒ· καὶ συνθέντι ἡ ΕΖ [ἄρα] πρὸς ΖΗ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ΑΒ πρὸς ΒΓ [διὰ λῆμμα]. ἴσον δὲ τὸ ΒΓ τῷ Δ· ἡ ΕΖ ἄρα πρὸς ΖΗ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ΑΒ πρὸς τὸ Δ.

εὑρημέναι εἰσὶν ἄρα δύο εὐθεῖαι ἄνισοι ποιοῦσαι τὸ εἰρητόξου ΔΒ, καὶ $\mathrm{\Lambda K + K\Theta} >$ τόξου ΛΘ, καὶ $\mathrm{ZH + H\Theta} >$ τόξου ΖΘ, καὶ ἀκόμη $\mathrm{\Delta E + EZ} >$ τόξου ΔΖ, εἶναι ἄρα ὅλη ἡ περίμετρος τοῦ πολυγώνου μεγαλυτέρα τῆς περιφερείας τοῦ κύκλου.

2.

Δύο ἀνίσων μεγεθῶν δοθέντων εἶναι δυνατὸν νὰ εὑρεθῶσι δύο ἄνισοι εὐθεῖαι, ὥστε ἡ μεγαλυτέρα εὐθεῖα πρὸς τὴν μικροτέραν νὰ ἔχῃ λόγον μικρότερον τοῦ λόγου τοῦ μεγαλυτέρου μεγέθους πρὸς τὸ μικρότερον.



Ἔστω δύο μεγέθη ἄνισα τὰ ΑΒ, Δ, καὶ ἔστω μεγαλύτερον τὸ ΑΒ. Λέγω, ὅτι εἶναι δυνατὸν νὰ εὑρεθῶσι δύο ἄνισοι εὐθεῖαι πληροῦσαι τὸ εἰρημένον ἐπίταγμα.

Ἂς ληφθῇ κατὰ τὸ β΄ θεώρημα τοῦ α΄ βιβλίου τῶν Στοιχείων τοῦ Εὐκλείδου $\mathrm{B\Gamma = \Delta}$, καὶ ἂς ληφθῇ τυχοῦσα γραμμὴ ἡ ΖΗ· ὡς γνωστόν, τὸ ΓΑ ἐπαναλαμβανόμενον πολλάκις θὰ ὑπερβῇ τὸ Δ (ἀξ. 5). Ἂς ἐπαναληφθῇ λοιπόν, καὶ ἔστω τὸ ΑΘ, καὶ ὁσαπλάσιον εἶναι τὸ ΑΘ τοῦ ΑΓ, τοσαυταπλάσιος ἔστω ἡ ΖΗ τῆς ΗΕ· εἶναι ἄρα ὡς $\mathrm{\Theta A : A\Gamma = ZH : HE}$ (Εὐκλ. V, 15)· καὶ ἀνάπαλιν εἶναι ὡς $\mathrm{EH : HZ = A\Gamma : A\Theta}$ (Εὐκλ. V, 7, πόρ.). Καὶ ἐπειδὴ $\mathrm{A\Theta > \Delta}$, τουτέστι τοῦ ΓΒ, εἶναι ἄρα $\mathrm{\Gamma A : A\Theta < \Gamma A : \Gamma B}$ (Εὐκλ. V, 8). Ἀλλὰ $\mathrm{\Gamma A : A\Theta = EH : HZ}$· εἶναι ἄρα $\mathrm{EH : HZ < \Gamma A : \Gamma B}$· καὶ διὰ συνθέσεως [ἄρα] εἶναι $\mathrm{EZ : ZH < AB : B\Gamma}$ [διὰ τὸ λῆμμα]. Εἶναι δὲ $\mathrm{B\Gamma = \Delta}$· εἶναι ἄρα $\mathrm{EZ : ZH < AB : \Delta}$.

Εὑρέθησαν ἄρα δύο εὐθεῖαι ἄνισοι πληροῦσαι τὸ εἰρημένον

μένον ἐπίταγμα [τουτέστιν τὴν μείζονα πρὸς τὴν ἐλάσσονα λόγον ἔχειν ἐλάσσονα ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον].

γʹ

Δύο μεγεθῶν ἀνίσων δοθέντων καὶ κύκλου δυνατόν ἐστιν εἰς τὸν κύκλον πολύγωνον ἐγγράψαι καὶ ἄλλο περιγράψαι, ὅπως ἡ τοῦ περιγραφομένου πολυγώνου πλευρὰ πρὸς τὴν τοῦ ἐγγραφομένου πολυγώνου πλευρὰν ἐλάσσονα λόγον ἔχῃ ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλαττον.

H 14 *ἔστω τὰ δοθέντα δύο μεγέθη τὰ Α, Β, ὁ δὲ δοθεὶς κύκλος ὁ ὑποκείμενος. λέγω οὖν, ὅτι δυνατόν ἐστι ποιεῖν τὸ ἐπίταγμα.*

εὑρήσθωσαν γὰρ δύο εὐθεῖαι αἱ Θ, ΚΛ, ὧν μείζων ἔστω ἡ Θ, ὥστε τὴν Θ πρὸς τὴν ΚΛ ἐλάσσονα λόγον ἔχειν ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλαττον, καὶ ἤχθω ἀπὸ τοῦ Λ τῇ ΛΚ πρὸς ὀρθὰς ἡ ΛΜ, καὶ ἀπὸ τοῦ Κ τῇ Θ ἴση κατήχθω ἡ ΚΜ [δυνατὸν γὰρ τοῦτο], καὶ ἤχθωσαν τοῦ κύκλου δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ ΓΕ, ΔΖ. τέμνοντες οὖν τὴν ὑπὸ τῶν ΔΗΓ γωνίαν δίχα καὶ τὴν ἡμίσειαν αὐτῆς δίχα καὶ αἰεὶ τοῦτο ποιοῦντες λείψομέν τινα γωνίαν ἐλάσσονα ἢ διπλασίαν τῆς ὑπὸ ΛΚΜ. λελείφθω καὶ ἔστω ἡ ὑπὸ ΝΗΓ, καὶ ἐπεζεύχθω ἡ ΝΓ· ἡ ἄρα ΝΓ πολυγώνου ἐστὶ πλευρὰ ἰσοπλεύρου [ἐπείπερ ἡ ὑπὸ ΝΗΓ γωνία μετρεῖ τὴν ὑπὸ ΔΗΓ ὀρθὴν οὖσαν, καὶ ἡ ΝΓ ἄρα περιφέρεια μετρεῖ τὴν ΓΔ τέταρτον οὖσαν κύκλου· ὥστε καὶ τὸν κύκλον μετρεῖ. πολυγώνου ἄρα ἐστὶ πλευρὰ ἰσοπλεύρου· φανερὸν γάρ ἐστι τοῦτο]. καὶ τετμήσθω ἡ ὑπὸ ΓΗΝ γωνία δίχα τῇ ΗΞ εὐθείᾳ, καὶ ἀπὸ τοῦ Ξ ἐφαπτέσθω τοῦ κύκλου ἡ ΟΞΠ, καὶ ἐκβεβλήσθωσαν αἱ ΗΝΠ, ΗΓΟ· ὥστε καὶ ἡ ΠΟ πολυγώνου ἐστὶ πλευρὰ ἐπίταγμα [τουτέστιν ὁ λόγος τῆς μεγαλυτέρας πρὸς τὴν μικροτέραν νὰ εἶναι μικρότερος τοῦ λόγου τοῦ μεγαλυτέρου μεγέθους πρὸς τὸ μικρότερον].

3

Δύο ἀνίσων μεγεθῶν δοθέντων καὶ κύκλου εἶναι δυνατὸν νὰ ἐγγραφῇ πολύγωνον εἰς τὸν κύκλον καὶ ἄλλο νὰ περιγραφῇ, ὥστε ἡ πλευρὰ τοῦ περιγραφομένου πολυγώνου νὰ ἔχῃ λόγον πρὸς τὴν πλευρὰν τοῦ ἐγγραφομένου πολυγώνου μικρότερον ἢ τὸ μεγαλύτερον μέγεθος πρὸς τὸ μικρότερον.



Ἔστω τὰ δοθέντα δύο μεγέθη τὰ Α, Β, ὁ δὲ δοθεὶς κύκλος ὁ ὑποκείμενος. Λέγω λοιπόν, ὅτι εἶναι δυνατὸν νὰ ποιηθῇ τὸ ἐπίταγμα.

Διότι ἂς εὑρεθῶσι δύο εὐθεῖαι αἱ Θ, ΚΛ, τῶν ὁποίων μεγαλυτέρα ἔστω ἡ Θ, ὥστε ἡ Θ πρὸς τὴν ΚΛ νὰ ἔχῃ λόγον μικρότερον ἢ τὸ μεγαλύτερον μέγεθος πρὸς τὸ μικρότερον, καὶ ἂς ἀχθῇ ἀπὸ τοῦ Λ κάθετος ἐπὶ τὴν ΛΚ ἡ ΛΜ, καὶ ἀπὸ τοῦ Κ ἂς ἀχθῇ ἡ ΚΜ ἴση πρὸς τὴν Θ [διότι τοῦτο εἶναι δυνατόν], καὶ ἂς ἀχθῶσι δύο διάμετροι τοῦ κύκλου κάθετοι πρὸς ἀλλήλας αἱ ΓΕ, ΔΖ. Τέμνοντες λοιπὸν δίχα τὴν γωνίαν ΔΗΓ καὶ τὴν ἡμίσειαν αὐτῆς δίχα καὶ πράττοντες τοῦτο πάντοτε θ' ἀφήσωμεν γωνίαν τινὰ μικροτέραν τῆς 2ΛΚΜ. Ἂς ἀπομείνῃ καὶ ἔστω ἡ ΝΗΓ, καὶ ἂς ἀχθῇ ἡ ΝΓ·

τοῦ περιγραφομένου περὶ τὸν κύκλον καὶ ἰσοπλεύρου [φανερόν, ὅτι καὶ ὁμοίου τῷ ἐγγραφομένῳ, οὗ πλευρὰ ἡ ΝΓ]. ἐπεὶ δὲ ἐλάσσων ἐστὶν ἢ διπλασία ἡ ὑπὸ ΝΗΓ τῆς ὑπὸ ΛΚΜ, διπλασία δὲ τῆς ὑπὸ ΤΗΓ, ἐλάσσων ἄρα ἡ ὑπὸ ΤΗΓ τῆς
H 16 ὑπὸ ΛΚΜ. καί εἰσιν ὀρθαὶ αἱ πρὸς τοῖς Λ, Τ· ἡ ἄρα ΜΚ πρὸς ΛΚ μείζονα λόγον ἔχει ἤπερ ἡ ΓΗ πρὸς ΗΤ. ἴση δὲ ἡ ΓΗ τῇ ΗΞ· ὥστε ἡ ΗΞ πρὸς ΗΤ ἐλάσσονα λόγον ἔχει, τουτέστιν ἡ ΠΟ πρὸς ΝΓ, ἤπερ ἡ ΜΚ πρὸς ΚΛ· ἔτι δὲ ἡ ΜΚ πρὸς ΚΛ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ Α πρὸς τὸ Β. καί ἐστιν ἡ μὲν ΠΟ πλευρὰ τοῦ περιγραφομένου πολυγώνου, ἡ δὲ ΓΝ τοῦ ἐγγραφομένου· ὅπερ προέκειτο εὑρεῖν.

δ'

Πάλιν δύο μεγεθῶν ἀνίσων ὄντων καὶ τομέως δυνατόν ἐστι περὶ τὸν τομέα πολύγωνον περιγράψαι καὶ ἄλλο ἐγγράψαι, ὥστε τὴν τοῦ περιγεγραμμένου πλευρὰν πρὸς τὴν τοῦ ἐγγεγραμμένου πλευρὰν ἐλάσσονα λόγον ἔχειν ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον.



ἔστω γὰρ πάλιν δύο μεγέθη ἄνισα τὰ Ε, Ζ, ὧν μεῖζον ἔστω τὸ Ε, κύκλος δέ τις ὁ ΑΒΓ κέντρον ἔχων τὸ Δ, καὶ πρὸς τῷ Δ τομεὺς συνεστάτω ὁ ΑΔΒ· δεῖ δὴ περιγράψαι καὶ ἐγγράψαι πολύγωνον περὶ τὸν εἶναι ἄρα ἡ ΝΓ πλευρὰ πολυγώνου ἰσοπλεύρου [ἐπειδὴ βεβαίως ἡ γωνία ΝΗΓ μετρεῖ τὴν ΔΗΓ, ἡ ὁποία εἶναι ὀρθή, καὶ συνεπῶς τὸ τόξον ΝΓ μετρεῖ τὸ ΓΔ, τὸ ὁποῖον εἶναι τέταρτον κύκλου· ὥστε μετρεῖ καὶ τὸν κύκλον. Εἶναι ἄρα πλευρὰ πολυγώνου ἰσοπλεύρου· διότι τοῦτο εἶναι φανερόν]. Καὶ ἂς τμηθῇ ἡ γωνία ΓΗΝ δίχα διὰ τῆς εὐθείας ΗΞ, καὶ ἀπὸ τοῦ Ξ ἂς ἐφάπτηται τοῦ κύκλου ἡ ΟΞΠ, καὶ ἂς ἐκβληθῶσιν αἱ ΗΝΠ, ΗΓΟ· ὥστε καὶ ἡ ΠΟ εἶναι πλευρὰ τοῦ περὶ τὸν κύκλον περιγραφομένου πολυγώνου καὶ ἰσοπλεύρου [εἶναι φανερόν, ὅτι καὶ ὁμοίου πρὸς τὸ ἐγγεγραμμένον, τοῦ ὁποίου πλευρὰ εἶναι ἡ ΝΓ]. Ἐπειδὴ δὲ ἡ ΝΗΓ$\langle$2ΛΚΜ, εἶναι δὲ ἡ ΝΗΓ=2ΤΗΓ, εἶναι ἄρα ἡ ΤΗΓ$\langle$ΛΚΜ. Καὶ αἱ ἔχουσαι κορυφὰς τὰ σημεῖα Λ, Τ εἶναι ὀρθαί· εἶναι ἄρα ΜΚ : ΛΚ $\rangle$ ΓΗ : ΗΤ. Εἶναι δὲ ἴση ἡ ΓΗ πρὸς τὴν ΗΞ· ὥστε ΗΞ : ΗΤ, τουτέστιν ἡ ΠΟ : ΝΓ $\langle$ ΜΚ : ΚΛ· ἔτι δὲ εἶναι ΜΚ : ΚΛ $\langle$ Α : Β. Καὶ εἶναι ἡ μὲν ΠΟ πλευρὰ τοῦ περιγραφομένου πολυγώνου, ἡ δὲ ΓΝ τοῦ ἐγγραφομένου· ὅπερ ἐπρόκειτο νὰ εὕρωμεν.

4

Πάλιν δύο μεγεθῶν ἀνίσων ὄντων καὶ τομέως εἶναι δυνατὸν νὰ περιγραφῇ περὶ τὸν τομέα πολύγωνον καὶ ἄλλο νὰ ἐγγραφῇ, ὥστε ὁ λόγος τῆς πλευρᾶς τοῦ περιγεγραμμένου πρὸς τὴν πλευρὰν τοῦ ἐγγεγραμμένου νὰ εἶναι μικρότερος ἢ τὸ μεγαλύτερον μέγεθος πρὸς τὸ μικρότερον.

Διότι ἔστω πάλιν δύο μεγέθη ἄνισα τὰ Ε, Ζ, τῶν ὁποίων ἔστω μεγαλύτερον τὸ Ε, ἔστω δὲ κύκλος τις ὁ ΑΒΓ ἔχων κέντρον τὸ Δ καὶ πρὸς τὸ Δ ἂς κατασκευασθῇ τομεὺς ὁ ΑΔΒ· πρέπει περὶ τὸν τομέα ΑΒΔ νὰ περιγραφῇ καὶ νὰ ἐγγραφῇ πολύγωνον

ΑΒΔ τομέα ἴσας ἔχον τὰς πλευρὰς χωρὶς τῶν ΒΔΑ, ὅπως γένηται τὸ ἐπίταγμα.

εὑρήσθωσαν γὰρ δύο εὐθεῖαι αἱ Η, ΘΚ ἄνισοι καὶ μείζων ἡ Η, ὥστε τὴν Η πρὸς τὴν ΘΚ ἐλάσσονα λόγον ἔχειν ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον [δυνατὸν γὰρ τοῦτο], καὶ ἀπὸ τοῦ Θ ὁμοίως ἀχθείσης πρὸς ὀρθὰς τῇ ΚΘ προσβεβλήσθω τῇ Η ἴση ἡ ΚΛ [δυνατὸν γάρ, ἐπεὶ μείζων ἐστὶν ἡ Η τῆς ΘΚ]. τεμνομένης δὴ τῆς ὑπὸ τῶν ΑΔΒ γωνίας δίχα καὶ τῆς ἡμισείας δίχα καὶ ἀεὶ τούτου γινομένου λειφθήσεταί τις γωνία ἐλάσσων οὖσα ἢ διπλασία τῆς ὑπὸ ΛΚΘ. λελείφθω οὖν ἡ ὑπὸ ΑΔΜ· ἡ ΑΜ οὖν γίνεται πολυγώνου
Η 18 *πλευρὰ ἐγγραφομένου εἰς τὸν κύκλον. καὶ ἐὰν τέμωμεν τὴν ὑπὸ ΑΔΜ γωνίαν δίχα τῇ ΔΝ καὶ ἀπὸ τοῦ Ν ἀγάγωμεν ἐφαπτομένην τοῦ κύκλου τὴν ΟΝΞ, αὕτη πλευρὰ ἔσται τοῦ πολυγώνου τοῦ περιγραφομένου περὶ τὸν αὐτὸν κύκλον ὁμοίου τῷ εἰρημένῳ· καὶ ὁμοίως τοῖς προειρημένοις ἡ ΞΟ πρὸς τὴν ΑΜ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ Ε μέγεθος πρὸς τὸ Ζ.*

ε′

Κύκλου δοθέντος καὶ δύο μεγεθῶν ἀνίσων περιγράψαι περὶ τὸν κύκλον πολύγωνον καὶ ἄλλο ἐγγράψαι, ὥστε τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχειν ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον.

ἐκκείσθω κύκλος ὁ Α καὶ δύο μεγέθη ἄνισα τὰ Ε, Ζ καὶ μεῖζον τὸ Ε· δεῖ οὖν πολύγωνον ἐγγράψαι εἰς τὸν κύκλον καὶ ἄλλο περιγράψαι, ἵνα γένηται τὸ ἐπιταχθέν.

ἔχον ἴσας τὰς πλευράς, χωρὶς τὰς πλευρὰς ΒΔ, ΔΑ, ἵνα πληρωθῇ τὸ ἐπίταγμα.

Διότι ἂς εὑρεθῶσι δύο ἄνισοι εὐθεῖαι αἱ Η, ΘΚ καὶ ἔστω μεγαλυτέρα ἡ Η, ὥστε Η : ΘΚ ⟨ μεγαλύτερον μέγεθος : μικρότερον μέγεθος [διότι τοῦτο εἶναι δυνατόν], καὶ ὁμοίως πρὸς τὸ προηγούμενον, ἀφοῦ ἀχθῇ ἀπὸ τοῦ Θ κάθετος ἐπὶ τὴν ΚΘ ἂς ληφθῇ πρὸς τὴν Η ἴση ἡ ΚΛ [διότι εἶναι δυνατόν, ἐπειδὴ ἡ Η⟩ ΘΚ]. Τεμνομένης λοιπὸν τῆς γωνίας ΑΔΒ δίχα καὶ τῆς ἡμισείας δίχα καὶ ἂν γίνηται τοῦτο πάντοτε θ' ἀπομείνῃ γωνία τις μικροτέρα τῆς 2ΛΚΘ. Ἂς ἀπομείνῃ λοιπὸν ἡ ΑΔΜ· ἡ ΑΜ λοιπὸν γίνεται πλευρὰ πολυγώνου ἐγγραφομένου εἰς τὸν κύκλον. Καὶ ἂν τμήσωμεν τὴν γωνίαν ΑΔΜ δίχα διὰ τῆς ΔΝ καὶ ἀπὸ τοῦ Ν φέρωμεν ἐφαπτομένην τοῦ κύκλου τὴν ΟΝΞ, αὕτη θὰ εἶναι πλευρὰ τοῦ πολυγώνου τοῦ περιγραφομένου περὶ τὸν αὐτὸν κύκλον ὁμοίου πρὸς τὸ προηγούμενον· καὶ ὁμοίως πρὸς τὰ προαποδειχθέντα εἶναι ΞΟ : ΑΜ ⟨ Ε : Ζ.

5

Δοθέντος κύκλου καὶ δύο ἀνίσων μεγεθῶν νὰ περιγραφῇ περὶ τὸν κύκλον πολύγωνον καὶ ἄλλο νὰ ἐγγραφῇ, ὥστε τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν νὰ ἔχῃ λόγον μικρότερον ἢ τὸ μεγαλύτερον μέγεθος πρὸς τὸ μικρότερον.



Ἂς ληφθῇ κύκλος ὁ Α καὶ δύο ἄνισα μεγέθη τὰ Ε, Ζ καὶ ἔστω μεγαλύτερον τὸ Ε· πρέπει λοιπὸν νὰ ἐγγραφῇ εἰς τὸν κύκλον πολύγωνον καὶ ἄλλο νὰ περιγραφῇ, ἵνα πληρωθῇ τὸ ἐπιταχθέν.

λαμβάνω γὰρ δύο εὐθείας ἀνίσους τὰς Γ, Δ, ὧν μείζων ἔστω ἡ Γ, ὥστε τὴν Γ πρὸς τὴν Δ ἐλάσσονα λόγον ἔχειν ἢ τὴν Ε πρὸς τὴν Ζ· καὶ τῶν Γ, Δ μέσης ἀνάλογον ληφθείσης τῆς Η μείζων ἄρα καὶ ἡ Γ τῆς Η. περιγεγράφθω δὴ περὶ κύκλον πολύγωνον καὶ ἄλλο ἐγγεγράφθω, ὥστε τὴν τοῦ περιγραφέντος πολυγώνου πλευρὰν πρὸς τὴν τοῦ ἐγγραφέντος ἐλάσσονα λόγον ἔχειν ἢ τὴν Γ πρὸς τὴν Η [καθὼς ἐμάθομεν]· διὰ τοῦτο δὴ καὶ ὁ διπλάσιος λόγος τοῦ διπλασίου ἐλάσσων ἐστί. καὶ τοῦ μὲν τῆς πλευρᾶς πρὸς τὴν πλευρὰν διπλάσιός ἐστι ὁ τοῦ πολυγώνου πρὸς τὸ πολύγωνον [ὅμοια γάρ], τῆς δὲ Γ πρὸς τὴν Η ὁ τῆς Γ πρὸς τὴν Δ· καὶ τὸ περιγραφὲν ἄρα πολύγωνον πρὸς τὸ ἐγγραφὲν ἐλάσ-
H 20 σονα λόγον ἔχει ἤπερ ἡ Γ πρὸς τὴν Δ· πολλῷ ἄρα τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ Ε πρὸς τὸ Ζ.

ϛʹ

Ὁμοίως δὴ δείξομεν, ὅτι δύο μεγεθῶν ἀνίσων δοθέντων καὶ τομέως δυνατόν ἐστιν περὶ τὸν τομέα πολύγωνον περιγράψαι καὶ ἄλλο ἐγγράψαι ὅμοιον αὐτῷ, ἵνα τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχῃ ἢ τὸ μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον.

Φανερὸν δὲ καὶ τοῦτο, ὅτι, ἐὰν δοθῇ κύκλος ἢ τομεὺς καὶ χωρίον τι, δυνατόν ἐστιν ἐγγράφοντα εἰς τὸν κύκλον ἢ τὸν τομέα πολύγωνα ἰσόπλευρα καὶ ἔτι ἀεὶ εἰς τὰ περιλειπόμενα τμήματα λείπειν τινὰ τμήματα τοῦ κύκλου ἢ τομέως, ἅπερ

Διότι λαμβάνω δύο εὐθείας ἀνίσους τὰς Γ, Δ, τῶν ὁποίων μεγαλυτέρα ἔστω ἡ Γ, ὥστε Γ : Δ 〈 Ε : Ζ (θ. 2)· καὶ ἀφοῦ ληφθῇ τῶν Γ, Δ μέση ἀνάλογος ἡ Η (Εὐκλ. VI, 13), εἶναι ἄρα καὶ Γ 〉 Η. Ἂς περιγραφῇ λοιπὸν περὶ τὸν κύκλον πολύγωνον καὶ ἄλλο ἂς ἐγγραφῇ, ὥστε ἡ πλευρὰ τοῦ περιγραφέντος πολυγώνου πρὸς τὴν πλευρὰν τοῦ ἐγγραφέντος νὰ ἔχῃ λόγον μικρότερον ἢ Γ : Η [καθὼς ἐμάθομεν] (θ. 3)· διὰ τοῦτο λοιπὸν καὶ ὁ λόγος εἰς τὸ τετράγωνον εἶναι μικρότερος τοῦ λόγου εἰς τὸ τετράγωνον. Καὶ τοῦ μὲν πολυγώνου πρὸς τὸ πολύγωνον ὁ λόγος ἰσοῦται πρὸς τὸ τετράγωνον τοῦ λόγου τῆς πλευρᾶς πρὸς τὴν πλευρὰν [διότι εἶναι ὅμοια] (Εὐκλ. VI, 20), καὶ Γ : Δ $=$ Γ^2: Η^2 (Εὐκλ. V, ὁρισ. 9, διότι Γ : Η $=$ Η : Δ)· καὶ τὸ περιγραφὲν ἄρα πολύγωνον πρὸς τὸ ἐγγραφὲν ἔχει λόγον μικρότερον ἢ ἡ Γ : Δ· κατὰ μείζονα ἄρα λόγον τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἔχει μικρότερον λόγον ἢ τὸ Ε : Ζ.

6

Καθ' ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι δοθέντων δύο ἀνίσων μεγεθῶν καὶ τομέως εἶναι δυνατὸν νὰ περιγράψωμεν πολύγωνον περὶ τὸν τομέα καὶ ἄλλο ὅμοιον πρὸς αὐτὸ νὰ ἐγγράψωμεν, ἵνα τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἔχῃ μικρότερον λόγον ἢ τὸ μεγαλύτερον μέγεθος πρὸς τὸ μικρότερον.



Εἶναι δὲ καὶ τοῦτο φανερόν, ὅτι, ἐὰν δοθῇ κύκλος ἢ τομεὺς καὶ χωρίον τι, εἶναι δυνατόν, ἐγγράφοντες εἰς τὸν κύκλον ἢ τὸν τομέα πολύγωνα ἰσόπλευρα καὶ εἰς τὰ ἀπομένοντα τμήματα ὁμοίως πάντοτε, ν' ἀπομείνωσι τμήματά τινα τοῦ κύκλου ἢ τομέως, τὰ ὁποῖα θὰ εἶναι μικρότερα *ἔσται ἐλάσσονα τοῦ προκειμένου χωρίου· ταῦτα γὰρ ἐν τῇ Στοιχειώσει παραδέδοται.*

Δεικτέον δέ, ὅτι καὶ κύκλου δοθέντος ἢ τομέως καὶ χωρίου δυνατόν ἐστι περιγράψαι πολύγωνον περὶ τὸν κύκλον ἢ τὸν τομέα, ὥστε τὰ περιλειπόμενα τῆς περιγραφῆς τμήματα ἐλάσσονα εἶναι τοῦ δοθέντος χωρίου· ἔσται γὰρ ἐπὶ κύκλου δείξαντα μεταγαγεῖν τὸν ὅμοιον λόγον καὶ ἐπὶ τοῦ τομέως.

δεδόσθω κύκλος ὁ Α καὶ χωρίον τι τὸ Β. δυνατὸν δὴ περιγράψαι περὶ τὸν κύκλον πολύγωνον, ὥστε τὰ ἀπολειφθέντα τμήματα μεταξὺ τοῦ κύκλου καὶ τοῦ πολυγώνου ἐλάσσονα εἶναι τοῦ Β χωρίου· καὶ γὰρ ὄντων δύο μεγεθῶν ἀνίσων, μείζονος μὲν συναμφοτέρου τοῦ τε χωρίου καὶ τοῦ κύκλου, H 22 *ἐλάσσονος δὲ τοῦ κύκλου, περιγεγράφθω περὶ τὸν κύκλον πολύγωνον καὶ ἄλλο ἐγγεγράφθω, ὥστε τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχειν ἢ τὸ εἰρημένον μεῖζον μέγεθος πρὸς τὸ ἔλασσον. τοῦτο δὴ τὸ περιγραφόμενον πολύγωνόν ἐστιν, οὗ τὰ περιλείμματα ἔσται ἐλάσσονα τοῦ προτεθέντος χωρίου τοῦ Β.*

εἰ γὰρ τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἐλάσσονα λόγον ἔχει ἢ τὸ συναμφότερον ὅ τε κύκλος καὶ τὸ Β χωρίον πρὸς αὐτὸν τὸν κύκλον, τοῦ δὲ ἐγγραφομένου μείζων ὁ κύκλος, πολλῷ μᾶλλον τὸ περιγραφὲν πρὸς τὸν κύκλον ἐλάσσονα λόγον ἔχει ἢ τὸ συναμφότερον ὅ τε κύκλος καὶ τὸ Β χωρίον πρὸς αὐτὸν τὸν κύκλον· καὶ διελόντι ἄρα τὰ ἀπολείμματα τοῦ περιγεγραμμένου πολυγώνου πρὸς τὸν κύκλον ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ Β χωρίον πρὸς τὸν κύκλον· ἐλάσσονα ἄρα τὰ ἀπολείμματα τοῦ περιγεγραμμένου πολυγώνου τοῦ Β χωρίου. ἢ οὕτως· ἐπεὶ τὸ περιγραφὲν πρὸς τὸν κύκλον ἐλάσσονα λόγον ἔχει ἢ τὸ συναμφότερον ὅ τε κύκλος καὶ τὸ Β χωρίον τοῦ δοθέντος χωρίου· διότι ταῦτα ἔχουσιν ἀποδειχθῆ εἰς τὰ Στοιχεῖα (Εὐκλείδου XII, 2).

Δεικτέον δέ, ὅτι καὶ κύκλου δοθέντος ἢ τομέως καὶ χωρίου εἶναι δυνατὸν νὰ περιγραφῆ πολύγωνον περὶ τὸν κύκλον ἢ τὸν τομέα, ὥστε τ' ἀπομένοντα μετὰ τὴν περιγραφὴν τμήματα νὰ εἶναι μικρότερα τοῦ δοθέντος χωρίου· διότι ἀρκεῖ, ἀφοῦ γίνῃ ἡ ἀπόδειξις ἐπὶ τοῦ κύκλου νὰ μεταχθῆ αὐτη καὶ ἐπὶ τοῦ τομέως.

Ἂς δοθῆ κύκλος ὁ Α καὶ χωρίον τι τὸ Β. Εἶναι λοιπὸν δυνατὸν νὰ περιγραφῆ περὶ τὸν κύκλον πολύγωνον, ὥστε τ' ἀπολειφθέντα τμήματα μεταξὺ τοῦ κύκλου καὶ τοῦ πολυγώνου νὰ εἶναι μικρότερα τοῦ χωρίου Β· διότι ὑπαρχόντων δύο ἀνίσων μεγεθῶν, μεγαλυτέρου μὲν τοῦ ἀθροίσματος τοῦ χωρίου καὶ τοῦ κύκλου, μικροτέρου δὲ τοῦ κύκλου, ἂς περιγραφῆ περὶ τὸν κύκλον πολύγωνον καὶ ἄλλο (ὅμοιον) ἂς ἐγγραφῆ, ὥστε τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν νὰ ἔχῃ μικρότερον λόγον ἢ τὸ εἰρημένον μεγαλύτερον μέγεθος πρὸς τὸ μικρότερον (θ. 5). Τοῦτο λοιπὸν τὸ περιγραφόμενον πολύγωνον εἶναι ἐκεῖνο, τὸ ὁποῖον ἀφαιρούμενον ἀπὸ τοῦ κύκλου ἀφίνει τμήματα, τὰ ὁποῖα θὰ εἶναι μικρότερα τοῦ δοθέντος χωρίου Β.

Διότι ἐὰν τὸ περιγραφὲν πρὸς τὸ ἐγγραφὲν ἔχῃ μικρότερον λόγον ἢ τὸ ἄθροισμα κύκλου καὶ χωρίου πρὸς τὸν αὐτὸν κύκλον, τοῦ δὲ ἐγγραφομένου εἶναι μεγαλύτερος ὁ κύκλος, κατὰ μείζονα λόγον τὸ περιγραφὲν πρὸς τὸν κύκλον ἔχει μικρότερον λόγον ἢ τὸ ἄθροισμα κύκλου καὶ χωρίου πρὸς τὸν αὐτὸν κύκλον· καὶ δι' ἀφαιρέσεως ἄρα τὰ ἀπολείμματα μεταξὺ περιγεγραμμένου πολυγώνου καὶ κύκλου ἔχουσι μικρότερον λόγον ἢ τὸ Β χωρίον πρὸς τὸν κύκλον· εἶναι ἄρα τὰ ἀπολείμματα τοῦ περιγεγραμμένου πολυγώνου μικρότερα τοῦ χωρίου Β (Εὐκλ. V, 10). Ἢ τοιουτοτρόπως· ἐπειδὴ τὸ περιγραφὲν ἔχει πρὸς τὸν κύκλον μικρότερον *πρὸς τὸν κύκλον, διὰ τοῦτο δὴ ἔλασσον ἔσται τὸ περιγραφὲν συναμφοτέρου· ὥστε καὶ ὅλα τὰ περιλείμματα ἐλάσσονα ἔσται τοῦ χωρίου τοῦ Β.*

ὁμοίως δὲ καὶ ἐπὶ τοῦ τομέως.

H 24 *ζʹ*

Ἐὰν ἐν ἰσοσκελεῖ κώνῳ πυραμὶς ἐγγραφῇ ἰσόπλευρον ἔχουσα βάσιν, ἡ ἐπιφάνεια αὐτῆς χωρὶς τῆς βάσεως ἴση ἐστὶ τριγώνῳ βάσιν μὲν ἔχοντι ἴσην τῇ περιμέτρῳ τῆς βάσεως, ὕψος δὲ τὴν ἀπὸ τῆς κορυφῆς ἐπὶ μίαν πλευρὰν τῆς βάσεως κάθετον ἀγομένην.

ἔστω κῶνος ἰσοσκελής, οὗ βάσις ὁ ΑΒΓ κύκλος, καὶ εἰς αὐτὸν ἐγγεγράφθω πυραμὶς ἰσόπλευρον ἔχουσα βάσιν τὸ ΑΒΓ ⟨τρίγωνον⟩· λέγω, ὅτι ἡ ἐπιφάνεια αὐτῆς χωρὶς τῆς βάσεως ἴση ἐστὶ τῷ εἰρημένῳ τριγώνῳ.

ἐπεὶ γὰρ ἰσοσκελὴς ὁ κῶνος, καὶ ἰσόπλευρος ἡ βάσις τῆς πυραμίδος, τὰ ὕψη τῶν περιεχόντων τριγώνων τὴν πυραμίδα ἴσα ἐστὶν ἀλλήλοις. καὶ βάσιν μὲν ἔχει τὰ τρίγωνα τὰς ΑΒ, ΒΓ, ΓΑ, ὕψος δὲ τὸ εἰρημένον· ὥστε τὰ τρίγωνα ἴσα ἐστὶ τριγώνῳ βάσιν μὲν ἔχοντι τὴν ἴσην ταῖς ΑΒ, ΒΓ, ΓΑ, ὕψος δὲ τὴν εἰρημένην εὐθεῖαν [τουτέστιν ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τοῦ ΑΒΓ τριγώνου].

[σαφέστερον ἄλλως ἡ δεῖξις.

ἔστω κῶνος ἰσοσκελής, οὗ βάσις μὲν ὁ ΑΒΓ κύκλος, κορυφὴ δὲ τὸ Δ σημεῖον, καὶ ἐγγεγράφθω εἰς τὸν κῶνον πυραμὶς βάσιν [μὲν] ἔχουσα ἰσόπλευρον τρίγωνον τὸ ΑΒΓ, καὶ ἐπεζεύχθωσαν αἱ ΔΑ, ΔΓ, ΔΒ· λέγω, ὅτι τὰ ΑΔΒ, λόγον ἢ τὸ ἄθροισμα κύκλου καὶ Β χωρίου πρὸς τὸν κύκλον, διὰ τοῦτο λοιπὸν τὸ περιγραφὲν θὰ εἶναι μικρότερον τοῦ ἀθροίσματος· ὥστε καὶ ὅλα τ' ἀπομένοντα τμήματα θὰ εἶναι μικρότερα τοῦ χωρίου Β. Καθ' ὅμοιον τρόπον γίνεται ἡ ἀπόδειξις καὶ ἐπὶ τοῦ τομέως.

7

Ἐὰν εἰς ἰσοσκελῆ κῶνον ἐγγραφῇ πυραμὶς ἔχουσα ἰσόπλευρον βάσιν, ἡ παράπλευρος ἐπιφάνεια αὐτῆς εἶναι ἴση πρὸς τρίγωνον ἔχον βάσιν μὲν ἴσην πρὸς τὴν περίμετρον τῆς βάσεως, ὕψος δὲ τὴν κάθετον τὴν ἀγομένην ἀπὸ τῆς κορυφῆς ἐπὶ μίαν πλευρὰν τῆς βάσεως.



Ἔστω κῶνος ἰσοσκελής, τοῦ ὁποίου βάσις εἶναι ὁ κύκλος ΑΒΓ, καὶ ἂς ἐγγραφῇ εἰς αὐτὸν πυραμὶς ἔχουσα ἰσόπλευρον βάσιν τὸ ΑΒΓ ⟨τρίγωνον⟩· λέγω, ὅτι ἡ παράπλευρος ἐπιφάνεια αὐτῆς εἶναι ἴση πρὸς τὸ εἰρημένον τρίγωνον.

Διότι ἐπειδὴ ὁ κῶνος εἶναι ἰσοσκελής, καὶ ἡ βάσις τῆς πυραμίδος εἶναι ἰσόπλευρος, τὰ ὕψη τῶν τριγώνων τῶν περιεχόντων τὴν πυραμίδα εἶναι πρὸς ἄλληλα ἴσα. Καὶ βάσιν μὲν ἔχουσι τὰ τρίγωνα τὰς ΑΒ, ΒΓ, ΓΑ, ὕψος δὲ τὸ εἰρημένον· ὥστε τὰ τρίγωνα εἶναι ἴσα πρὸς τρίγωνον ἔχον βάσιν μὲν τὸ ἄθροισμα τῶν ΑΒ, ΒΓ, ΓΑ, ὕψος δὲ τὴν εἰρημένην εὐθεῖαν [τουτέστιν εἶναι ἴσα πρὸς τὴν παράπλευρον ἐπιφάνειαν τῆς πυραμίδος] (Εὐκλ. VI, 1).

[Σαφέστερον κατ' ἄλλον τρόπον ἡ ἀπόδειξις.

Ἔστω κῶνος ἰσοσκελής, τοῦ ὁποίου βάσις μὲν εἶναι ὁ κύκλος ΑΒΓ, κορυφὴ δὲ τὸ σημεῖον Δ, καὶ ἂς ἐγγραφῇ εἰς τὸν κῶνον πυραμὶς ἔχουσα βάσιν [μὲν] ἰσόπλευρον τρίγωνον τὸ ΑΒΓ, καὶ ἂς ἀχθῶσιν αἱ ΔΑ, ΔΓ, ΔΒ· λέγω, ὅτι τὰ τρίγωνα ΑΔΒ, *ΑΔΓ, ΒΔΓ τρίγωνα ἴσα ἐστὶ τριγώνῳ, οὗ ἡ μὲν βάσις ἴση ἐστὶ τῇ περιμέτρῳ τοῦ ΑΒΓ τριγώνου, ἡ δὲ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν κάθετος ἴση τῇ καθέτῳ τῇ ἀπὸ τοῦ Δ ἐπὶ τὴν ΒΓ ἀγομένη.*

H 26 *ἤχθωσαν γὰρ κάθετοι αἱ ΔΚ, ΔΛ, ΔΜ· αὗται ἄρα ἴσαι ἀλλήλαις εἰσίν. καὶ κείσθω τρίγωνον τὸ ΕΖΗ ἔχον τὴν μὲν ΕΖ βάσιν τῇ περιμέτρῳ τοῦ ΑΒΓ τριγώνου ἴσην, τὴν δὲ ΗΘ κάθετον τῇ ΔΛ ἴσην. ἐπεὶ οὖν τὸ ὑπὸ τῶν ΒΓ, ΔΛ διπλάσιόν ἐστιν τοῦ ΔΒΓ τριγώνου, ἔστιν δὲ καὶ τὸ μὲν ὑπὸ τῶν ΑΒ, ΔΚ διπλάσιον τοῦ ΑΒΔ τριγώνου, τὸ δὲ ὑπὸ ΑΓ, ΔΜ διπλάσιον τοῦ ΑΔΓ τριγώνου, τὸ ἄρα ὑπὸ τῆς περιμέτρου τοῦ ΑΒΓ τριγώνου, τουτέστι τῆς ΕΖ, καὶ τῆς ΔΛ, τουτέστι τῆς ΗΘ, διπλάσιόν ἐστι τῶν ΑΔΒ, ΒΔΓ, ΑΔΓ τριγώνων. ἔστι δὲ καὶ τὸ ὑπὸ ΕΖ, ΗΘ διπλάσιον τοῦ ΕΖΗ τριγώνου· ἴσον ἄρα τὸ ΕΖΗ τρίγωνον τοῖς ΑΔΒ, ΒΔΓ, ΑΔΓ τριγώνοις].*

η′

Ἐὰν περὶ κῶνον ἰσοσκελὴ πυραμὶς περιγραφῇ, ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως ἴση ἐστὶν τριγώνῳ βάσιν μὲν ἔχοντι τὴν ἴσην τῇ περιμέτρῳ τῆς βάσεως, ὕψος δὲ τὴν πλευρὰν τοῦ κώνου.

ἔστω κῶνος, οὗ βάσις ὁ ΑΒΓ κύκλος, καὶ πυραμὶς περιγεγράφθω, ὥστε τὴν βάσιν αὐτῆς, τουτέστι τὸ ΔΕΖ πολύγωνον, περιγεγραμμένον περὶ τὸν ΑΒΓ κύκλον εἶναι· λέγω, ὅτι ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως ἴση ἐστὶ τῷ εἰρημένῳ τριγώνῳ.

ἐπεὶ γὰρ [ὁ ἄξων τοῦ κώνου ὀρθός ἐστι πρὸς τὴν

ΑΔΓ, ΒΔΓ εἶναι ἴσα πρὸς τρίγωνον, τοῦ ὁποίου ἡ βάσις μὲν εἶναι ἴση πρὸς τὴν περίμετρον τοῦ τριγώνου ΑΒΓ, ἡ δὲ κάθετος ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν εἶναι ἴση πρὸς τὴν κάθετον τὴν ἀγομένην ἀπὸ τοῦ Δ ἐπὶ τὴν ΒΓ.



Διότι ἂς ἀχθῶσιν αἱ κάθετοι ΔΚ, ΔΛ, ΔΜ· αὗται ἄρα εἶναι ἴσαι πρὸς ἀλλήλας. Καὶ ἂς ληφθῇ τρίγωνον τὸ ΕΖΗ ἔχον τὴν μὲν βάσιν ΕΖ ἴσην πρὸς τὴν περίμετρον τοῦ τριγώνου ΑΒΓ, τὴν δὲ κάθετον ΗΘ ἴσην πρὸς τὴν ΔΛ. Ἐπειδὴ λοιπὸν τὸ ὀρθογώνιον ΒΓ × ΔΛ εἶναι διπλάσιον τοῦ τριγώνου ΔΒΓ, (Εὐκλ. I, 41), εἶναι δὲ καὶ τὸ μὲν ΑΒ × ΔΚ διπλάσιον τοῦ τριγώνου ΑΒΔ, τὸ δὲ ΑΓ × ΔΜ διπλάσιον τοῦ τριγώνου ΑΔΓ, τὸ ὀρθογώνιον ἄρα τὸ σχηματιζόμενον ὑπὸ τῆς περιμέτρου τοῦ τριγώνου ΑΒΓ, τουτέστι τῆς ΕΖ, καὶ τῆς ΔΛ, τουτέστι τῆς ΗΘ, εἶναι διπλάσιον τῶν τριγώνων ΑΔΒ, ΒΔΓ, ΑΔΓ. Εἶναι δὲ καὶ τὸ ὀρθογώνιον ΕΖ × ΗΘ διπλάσιον τοῦ τριγώνου ΕΖΗ (Εὐκλ. I, 41)· τὸ τρίγωνον ἄρα ΕΖΗ εἶναι ἴσον πρὸς τὰ τρίγωνα ΑΔΒ, ΒΔΓ, ΑΔΓ].

8

Ἐὰν περὶ κῶνον ἰσοσκελῆ περιγραφῇ πυραμίς, ἡ παράπλευρος ἐπιφάνεια τῆς πυραμίδος εἶναι ἴση πρὸς τρίγωνον ἔχον βάσιν μὲν ἴσην πρὸς τὴν περίμετρον τῆς βάσεως, ὕψος δὲ τὴν πλευρὰν τοῦ κώνου.

Ἔστω κῶνος, τοῦ ὁποίου βάσις εἶναι ὁ κύκλος ΑΒΓ, καὶ *βάσιν, τουτέστι πρὸς τὸν ΑΒΓ κύκλον, καὶ] αἱ ἀπὸ τοῦ κέντρου τοῦ κύκλου ἐπὶ τὰς ἁφὰς ἐπιζευγνύμεναι* H 28 *εὐθεῖαι κάθετοί εἰσιν ἐπὶ τὰς ἐφαπτομένας, ἔσονται ἄρα καὶ αἱ ἀπὸ τῆς κορυφῆς τοῦ κώνου ἐπὶ τὰς ἁφὰς ἐπιζευγνύμεναι κάθετοι ἐπὶ τὰς ΔΕ, ΖΕ, ΖΔ. αἱ ΗΑ, ΗΒ, ΗΓ ἄρα αἱ εἰρημέναι κάθετοι ἴσαι εἰσὶν ἀλλήλαις· πλευραὶ γάρ εἰσιν τοῦ κώνου. κείσθω δὴ τὸ τρίγωνον τὸ ΘΚΛ ἴσην ἔχον τὴν μὲν ΘΚ τῇ περιμέτρῳ τοῦ ΔΕΖ τριγώνου, τὴν δὲ ΛΜ κάθετον ἴσην τῇ ΗΑ. ἐπεὶ οὖν τὸ μὲν ὑπὸ ΔΕ, ΑΗ διπλάσιόν ἐστι τοῦ ΕΔΗ τριγώνου, τὸ δὲ ὑπὸ ΔΖ, ΗΒ διπλάσιόν ἐστι τοῦ ΔΖΗ τριγώνου, τὸ δὲ ὑπὸ ΕΖ, ΓΗ διπλάσιόν ἐστιν τοῦ ΕΗΖ τριγώνου,*



ἔστιν ἄρα τὸ ὑπὸ τῆς ΘΚ καὶ τῆς ΑΗ, τουτέστι τῆς ΜΛ, διπλάσιον τῶν ΕΔΗ, ΖΔΗ, ΕΗΖ τριγώνων. ἔστιν δὲ καὶ τὸ ὑπὸ τῶν ΘΚ, ΛΜ διπλάσιον τοῦ ΛΚΘ τριγώνου· διὰ τοῦτο δὴ ἴση ἐστὶν ἡ ἐπιφάνεια τῆς πυραμίδος χωρὶς τῆς βάσεως τριγώνῳ βάσιν μὲν ἔχοντι ἴσην τῇ περιμέτρῳ τοῦ ΔΕΖ, ὕψος δὲ τὴν πλευρὰν τοῦ κώνου.

H 30

θʹ

Ἐὰν κώνου τινὸς ἰσοσκελοῦς εἰς τὸν κύκλον, ὅς ἐστι βάσις τοῦ κώνου, εὐθεῖα γραμμὴ ἐμπέσῃ, ἀπὸ δὲ τῶν περάτων ἂς περιγραφῇ πυραμίς, ὥστε ἡ βάσις αὐτῆς, τουτέστι τὸ πολύγωνον ΔΕΖ, νὰ εἶναι περιγεγραμμένον περὶ τὸν κύκλον ΑΒΓ· λέγω, ὅτι ἡ παράπλευρος ἐπιφάνεια τῆς πυραμίδος εἶναι ἴση πρὸς τὸ εἰρημένον τρίγωνον.

Διότι ἐπειδὴ [ὁ ἄξων τοῦ κώνου εἶναι κάθετος ἐπὶ τὴν βάσιν, τουτέστιν ἐπὶ τὸν κύκλον ΑΒΓ, καὶ] αἱ ἀπὸ τοῦ κέντρου τοῦ κύκλου πρὸς τὰ σημεῖα ἐπαφῆς ἀγόμεναι εὐθεῖαι εἶναι κάθετοι ἐπὶ τὰς ἐφαπτομένας, θὰ εἶναι ἄρα καὶ αἱ ἀπὸ τῆς κορυφῆς τοῦ κώνου ἐπὶ τὰ σημεῖα ἐπαφῆς ἀγόμεναι εὐθεῖαι κάθετοι ἐπὶ τὰς ΔΕ, ΖΕ, ΖΔ. Αἱ εἰρημέναι κάθετοι ἄρα αἱ ΗΑ, ΗΒ, ΗΓ εἶναι ἴσαι πρὸς ἀλλήλας· διότι εἶναι πλευραὶ τοῦ κώνου. Ἂς ληφθῇ λοιπὸν τὸ τρίγωνον ΘΚΛ ἔχον τὴν μὲν ΘΚ ἴσην πρὸς τὴν περίμετρον τοῦ τριγώνου ΔΕΖ, τὴν δὲ κάθετον ΛΜ ἴσην πρὸς τὴν ΗΑ. Ἐπειδὴ λοιπὸν τὸ μὲν ὀρθογώνιον ΔΕ $\times$ ΑΗ εἶναι διπλάσιον τοῦ τριγώνου ΕΔΗ (Εὐκλ. I, 41), τὸ δὲ ΔΖ $\times$ ΗΒ εἶναι διπλάσιον τοῦ τριγώνου ΔΖΗ, τὸ δὲ ΕΖ $\times$ ΓΗ εἶναι διπλάσιον τοῦ τριγώνου ΕΗΖ, εἶναι ἄρα τὸ ὀρθογώνιον ΘΚ $\times$ ΑΗ, τουτέστι ΘΚ $\times$ ΜΛ, διπλάσιον τῶν τριγώνων ΕΔΗ, ΖΔΗ, ΕΗΖ. Εἶναι δὲ καὶ τὸ ὀρθογώνιον ΘΚ $\times$ ΛΜ διπλάσιον τοῦ τριγώνου ΛΚΘ (Εὐκλ. I, 41)· διὰ τοῦτο λοιπὸν ἡ παράπλευρος ἐπιφάνεια τῆς πυραμίδος εἶναι ἴση πρὸς τρίγωνον ἔχον βάσιν μὲν ἴσην πρὸς τὴν περίμετρον τοῦ ΔΕΖ, ὕψος δὲ τὴν πλευρὰν τοῦ κώνου.

9

Ἐὰν εἰς τὸν κύκλον ὅστις εἶναι βάσις ἰσοσκελοῦς τινος κώνου, ἐμπέσῃ εὐθεῖα γραμμή, ἀπὸ δὲ τῶν ἄκρων αὐτῆς ἀχθῶσιν εὐθεῖαι γραμμαὶ πρὸς τὴν κορυφὴν τοῦ κώνου, τὸ τρίγωνον τὸ αὐτῆς εὐθεῖαι γραμμαὶ ἀχθῶσιν ἐπὶ τὴν κορυφὴν τοῦ κώνου, τὸ περιληφθὲν τρίγωνον ὑπό τε τῆς ἐμπεσούσης καὶ τῶν ἐπιζευχθεισῶν ἐπὶ τὴν κορυφὴν ἔλασσον ἔσται τῆς ἐπιφανείας τοῦ κώνου τῆς μεταξὺ τῶν ἐπὶ τὴν κορυφὴν ἐπιζευχθεισῶν.

ἔστω κώνου ἰσοσκελοῦς βάσις ὁ ΑΒΓ κύκλος, κορυφὴ δὲ τὸ Δ, καὶ διήχθω τις εἰς αὐτὸν εὐθεῖα ἡ ΑΓ, καὶ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὰ Α, Γ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΔΓ· λέγω, ὅτι τὸ ΑΔΓ τρίγωνον ἔλασσόν ἐστιν τῆς ἐπιφανείας τῆς κωνικῆς τῆς μεταξὺ τῶν ΑΔΓ.

τετμήσθω ἡ ΑΒΓ περιφέρεια δίχα κατὰ τὸ Β, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΓΒ, ΔΒ· ἔσται δὴ τὰ ΑΒΔ, ΒΓΔ τρίγωνα μείζονα τοῦ ΑΔΓ τριγώνου. ᾧ δὴ ὑπερέχει τὰ εἰρημένα τρίγωνα τοῦ ΑΔΓ τριγώνου, ἔστω τὸ Θ. τὸ δὴ Θ ἤτοι τῶν ΑΒ, ΒΓ τμημάτων ἔλασσόν ἐστιν ἢ οὔ.

ἔστω μὴ ἔλασσον πρότερον. ἐπεὶ οὖν δύο εἰσὶν ἐπιφάνειαι ἥ τε κωνικὴ ἡ μεταξὺ τῶν ΑΔΒ μετὰ τοῦ ΑΕΒ τμήματος καὶ ἡ τοῦ ΑΔΒ τριγώνου τὸ αὐτὸ πέρας ἔχουσαι τὴν περίμετρον τοῦ τριγώνου τοῦ ΑΔΒ, μείζων ἔσται ἡ περιλαμβάνουσα τῆς περιλαμβανομένης· μείζων ἄρα ἐστὶν ἡ κωνικὴ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΒ μετὰ τοῦ ΑΕΒ τμήματος τοῦ ΑΒΔ τριγώνου. ὁμοίως δὲ καὶ ἡ μεταξὺ τῶν ΒΔΓ μετὰ H 32 τοῦ ΓΖΒ τμήματος μείζων ἐστὶν τοῦ ΒΔΓ τριγώνου· ὅλη ἄρα ἡ κωνικὴ ἐπιφάνεια μετὰ τοῦ Θ χωρίου μείζων ἐστὶ τῶν εἰρημένων τριγώνων. τὰ δὲ εἰρημένα τρίγωνα ἴσα ἐστὶν τῷ τε ΑΔΓ τριγώνῳ καὶ τῷ Θ χωρίῳ. κοινὸν ἀφῃρήσθω τὸ Θ χωρίον· λοιπὴ ἄρα ἡ κωνικὴ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΓ μείζων ἐστὶν τοῦ ΑΔΓ τριγώνου.

ἔστω δὴ τὸ Θ ἔλασσον τῶν ΑΒ, ΒΓ τμημάτων. τέμνον-περιλαμβανόμενον ὑπὸ τῆς ἐμπεσούσης καὶ τῶν ἀχθεισῶν πρὸς τὴν κορυφὴν τοῦ κώνου θὰ εἶναι μικρότερον τῆς ἐπιφανείας τοῦ κώνου τῆς μεταξὺ τῶν πρὸς τὴν κορυφὴν ἀχθεισῶν.

Ἔστω βάσις ἰσοσκελοῦς κώνου ὁ κύκλος ΑΒΓ, κορυφὴ δὲ τὸ Δ, καὶ ἂς ληφθῇ εἰς αὐτὸν χορδή τις ἡ ΑΓ καὶ ἀπὸ τῆς κορυφῆς πρὸς τὰ σημεῖα Α, Γ ἂς ἀχθῶσιν αἱ ΑΔ, ΔΓ· λέγω, ὅτι τὸ τρίγωνον ΑΔΓ εἶναι μικρότερον τῆς κωνικῆς ἐπιφανείας τῆς μεταξὺ τῶν ΑΔΓ.

Ἂς τμηθῇ τὸ τόξον ΑΒΓ εἰς τὸ μέσον κατὰ τὸ Β, καὶ ἂς ἀχθῶσιν αἱ ΑΒ, ΓΒ, ΔΒ· θὰ εἶναι λοιπὸν τὰ τρίγωνα ΑΒΔ, ΒΓΔ μεγαλύτερα τοῦ τριγώνου ΑΔΓ. Ὅ,τι λοιπὸν ὑπερέχουσι τὰ εἰρημένα τρίγωνα τοῦ τριγώνου ΑΔΓ, ἔστω τὸ Θ. Τὸ Θ λοιπὸν θὰ εἶναι μικρότερον ἢ ὄχι τῶν κυκλικῶν τμημάτων ΑΒ, ΒΓ.

Ἔστω πρῶτον ὄχι μικρότερον. Ἐπειδὴ λοιπὸν ὑπάρχουσι δύο ἐπιφάνειαι καὶ ἡ κωνικὴ ἡ μεταξὺ τῶν ΑΔΒ μετὰ τοῦ τμήματος ΑΕΒ καὶ ἡ τοῦ τριγώνου ΑΔΒ ἔχουσαι τὸ αὐτὸ πέρας τὴν περίμετρον τοῦ τριγώνου ΑΔΒ, θὰ εἶναι μεγαλυτέρα ἡ περιλαμβάνουσα τῆς περιλαμβανομένης (ἀξ. 3)· εἶναι ἄρα ἡ κωνικὴ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΒ μετὰ τοῦ (κυκλ.) τμήματος ΑΕΒ μεγαλυτέρα τοῦ τριγώνου ΑΒΔ. Ὁμοίως δὲ καὶ ἡ μεταξὺ τῶν ΒΔΓ μετὰ τοῦ τμήματος ΓΖΒ εἶναι μεγαλυτέρα τοῦ τριγώνου ΒΔΓ· τὸ ἄθροισμα ἄρα τῶν δύο αὐτῶν κωνικῶν ἐπιφανειῶν μετὰ τοῦ χωρίου Θ εἶναι μεγαλύτερον τῶν εἰρημένων τριγώνων. Τὰ δὲ εἰρημένα τρίγωνα εἶναι ἴσα πρὸς τὸ τρίγωνον ΑΔΓ καὶ τὸ χωρίον Θ. Ἂς ἀφαιρεθῇ τὸ κοινὸν τὸ χωρίον Θ· ἡ λοιπὴ ἄρα κωνικὴ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΓ εἶναι μεγαλυτέρα τοῦ τριγώνου ΑΔΓ.

Ἔστω τώρα τὸ Θ μικρότερον τῶν κυκλικῶν τμημάτων ΑΒ,

τες δὴ τὰς ΑΒ, ΒΓ περιφερείας δίχα καὶ τὰς ἡμισείας αὐτῶν δίχα λείψομεν τμήματα ἐλάσσονα ὄντα τοῦ Θ χωρίου. λελείφθω τὰ ἐπὶ τῶν ΑΕ, ΕΒ, ΒΖ, ΖΓ εὐθειῶν, καὶ ἐπεζεύχθωσαν αἱ ΔΕ, ΔΖ. πάλιν τοίνυν κατὰ τὰ αὐτὰ ἡ μὲν ἐπιφάνεια τοῦ κώνου ἡ μεταξὺ τῶν ΑΔΕ μετὰ τοῦ ἐπὶ τῆς ΑΕ τμήματος μείζων ἐστὶν τοῦ ΑΔΕ τριγώνου, ἡ δὲ μεταξὺ τῶν ΕΔΒ μετὰ τοῦ ἐπὶ τῆς ΕΒ τμήματος μείζων ἐστὶν τοῦ ΕΔΒ τριγώνου· ἡ ἄρα ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΒ μετὰ τῶν ἐπὶ τῶν ΑΕ, ΕΒ τμημάτων μείζων ἐστὶν τῶν ΑΔΕ, ΕΒΔ τριγώνων. ἐπεὶ δὲ τὰ ΑΕΔ, ΔΕΒ τρίγωνα μείζονά ἐστιν τοῦ ΑΒΔ τριγώνου, καθὼς δέδεικται, πολλῷ ἄρα ἡ ἐπιφάνεια τοῦ κώνου ἡ μεταξὺ τῶν ΑΔΒ μετὰ τῶν ἐπὶ τῶν ΑΕ, ΕΒ τμημάτων μείζων ἐστὶ τοῦ ΑΔΒ τριγώνου. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΒΔΓ μετὰ τῶν ἐπὶ τῶν ΒΖ, ΖΓ τμημάτων μείζων ἐστὶν τοῦ ΒΔΓ τριγώνου· ὅλη ἄρα ἡ ἐπιφάνεια ἡ μεταξὺ τῶν ΑΔΓ μετὰ τῶν
